Bodleian Libraries
UNIVERSITY OF OXFORD

This book is part of the collection held by the Bodleian Libraries
and scanned by Google, Inc. for the Google Books Library Project.

For more information see:

http://www.bodleian.ox.ac.uk/dbooks

This work is licensed under a Creative Commons Attribution-NonCommercial-ShareAlike 2.0 UK: England & Wales (CC BY-NC-SA 2.0) licence.

# NVMERI

ET PARTICVLA

# DEVTERONOMII

GRAECE

EDIDIT

E COD. MS. BIBLIOTHECAE COLLEGII

PAVLLINI LIPSIENSIS

IOH. FRID. FISCHERVS



*LIPSIAE*

EX OFFICINA SAALBACHIA

A. C. CIↃ IↃ CC LXVIII

BIBLIOTHECA·BODLEIANA




# VIRO
SVMME REVERENDO
# ERDMANO RVDOLPHO FISCHERO
PARENTI OPTIMO
S. P. D
IOH. FRIDER. FISCHERVS

Etsi duplex mihi laetitia et voluptas, neque parua illa et tenuis, intercepta fuit superiore anno leuitate et maliuolentia fortunae: etsi vis morbi subito et repente, non tantum totum corpus meum,

 omnes-

omnesque partes eius, ſic fregerat et oppreſſerat, vt abiicere cogerer iter, quod conſtitueram Coburgum ſuſcipere, vt ego Tibi de dignitate et munere interpretis oraculorum diuinorum, quod Tu annos quinquaginta non minore felicitate, quam fide, obiiſſes, coram gratularer, ſed mentem quoque omnem ita obruerat, omnes eius igniculos ita fere extinxerat, vt monumentum pietatis aduerſus Te meae ponere non poſſem: tamen hic annus vtroque gaudii genere, ſane non exigui et leuis, affecturus me beaturuſque videtur. Sicut enim ſpes affulgebat non inanis, me viſurum Te eſſe hoc vere cum meis Coburgi: ita hoſtis iſte corporis animique mei etſi nondum diſceſſerat pacatus, tamen vrgere me deſierat et vexare acrius, vt hanc mihi ad Te ſcribere

epi-

epiſtolam licuerit. Quo quidem beneficio nihil gratius mihi, nihil iucundius contingere, nihil maius, potuiſſet. Si enim ego amoris erga Te mei monumentum extare hoc tempore et apparere non iuſſiſſem: vehementer ſane verendum fuiſſe intellego, ne ab poſteritate humana ac liberali, ſed neſcia rei et ignara, animi ingrati accuſarer et duri, qui non ſenſiſſem aſſequutuſque eſſem boni magnitudinem, mihi non minus, quam Tibi, diuinitus tributi. Et profecto prorſus inſignis reperitur et ſingularis excellentia illius Tui beneficii. Nam ne partes perſequar et numeros felicitatis illos, quos communes habes cum aliis, ſed perpaucis, vt vel hac de cauſſa bonum illud videri in primis magnum debeat, proprias tantum eius et praecipuas dotes attingam, non vt

virtutem Tuam fidemque ostentem, sed vt benignitatem dei et liberalitatem incredibilem Tecum mirabundus celebrem. Etenim ab imo sacerdotii in Coburgensi agro gradu deus euehi Te, e disciplina sanctissimi Cypriani profectum, et efferri ad gradum summum et altissimum iussit. Quum enim annos fere quatuor Einbergae, qui agri Coburgensis vicus est, cuius ingenii et situs amoenitas puerum saepenumero tenuit, socius adiutorque laborum Parentis Tui, sic meruisses, vt omnes vehementer probarent et diligerent doctrinam Tuam, fidem, morum vitaeque sanctitatem: factum est, vt ab Senatu Coburgensi, qui famam doctrinae et grauitatis Tuae sequutus esset, sacra facere iubereris in aede vrbis primaria, inuidentibus multis, qui ignorarent scilicet neque viderent, quot quan-

tosque

tosque fructus captura esset ciuitas et Ecclesia Coburgensis vniuersa e doctrina, diligentia, vigilantia, Tua. At Tu, neglecta inuidia, contemtis omnium iniquorum odiis, quo maiorem virtuti Tuae campum cernebas apertum, ipso deo auctore, eo magis et studiosius agendum duxisti hoc, vt fides Tua excurreret in eo et cognosceretur, vt, qui inuidissent Tibi primo dignitatem illam et honorem, ii tandem, fractis et abiectis inuidiae stimulis, laudarent eius rei auctores non parum, atque gratias adeo iis ingentes agerent. Tradebas enim atque interpretabaris dogmata et capita religionis Christianae, et publice et priuatim, summa cum industria, tum etiam diligentia: et quia in explicandis familiae Christianae placitis hoc spectandum vnice putabas, vt animi audi-

torum augerentur, vt ſaluti omnium et rationibus conſuleretur; dicebas nunquam ſubito et ex tempore, ſed ſumto ſemper ad cogitandum ſpatio, parate et accurate, eoſque inſigniter impudentes et leues, atque adeo impios, iudicabas, qui dicerent, quicquid veniſſet in mentem, quum tamen videri aliis vellent ii, qui verba facerent dei nomine, et ab eo iuſſi eſſent ſaluti hominum praeeſſe. Quae virtus et grauitas vt conciliabat Tibi multorum amorem et fiduciam tantam, vt Te potiſſimum propinante praecepta et leges diuinas imbibere auerent, vt Tuae potiſſimum fidei curam ſalutis ſuae committendam cenſerent: ita ſapiens illa libertas liberaliſque ſeueritas, qua vtebare in caſtigandis deſcribendiſque omnium, etiam potentiſſimorum hominum, vitiis,

non

non paucorum Tibi contrahebat, vel odia occulta et obſcura, vel inimicitias apertas acerrimaſque iras, quibus incenſi Te apud pium Ioſian adeo criminarentur, ſuiſque criminationibus fauore magni Principis Te et beniuolentia, vti me inimici nuper mei Bornii et Gutſchmidii, grauiſſimorum Virorum, patrocinio, priuare niterentur. At Princeps ſapientiſſimus, qui Te perpetuo iudicio ſuo diligeret, ita vt omnibus fere concionibus, quae a Te in aede Mauritiana haberentur, intereſſet; qui ſoleret veritatis rerumque ipſarum vocem grauem integramque audire ſemper, nunquam commoueri vllo modo cupidis leuibuſque criminatorum clamoribus et conuiciis, quo magis, quo crebrius, accuſabare ab iniquis, eo magis, eo ſaepius, Te augebat et ornabat.

 Etſi

Etſi enim, mortuo Meuſchenio, quum boni omnes ſperarent, Te conſtitutum iri ſucceſſorem magni Viri, quidam homines, quorum cupiditas iniuſtitiaeque ſtudium auerſaretur et timeret iuſtitiae integritatiſque Tuae ſanctitatem, variis Tibi artibus honorem illum eripuerant: tamen ea omnia, inuito Principe, facta eſſe, paullo poſt apparuit plane cognitumque eſt argumentis non vanis. Vt enim libellus hymnorum, quo nunc vtuntur in publicis ſacris ciues Coburgenſes, Tua maxime cura adornatus erat: ita rerum diuinarum amantiſſimus cupidiſſimuſque Ioſias, cui ſalute ciuium nihil antiquius eſſet, non modo illuſtrare Te iuſſit et explicare eum librum, quo initia religionis noſtrae ſacroſanctae et capita complexus eſt Lutherus, Catechiſmum vocant,

cant, vt et magiſtri ſcholarum, et ſacerdotes, in agro Coburgenſi normam haberent quaſi publicam, ad quam dirigerent inſtitutionem puerilem hoc in genere; ſed collegi etiam opera Tua atque congeri voluit formulas precum et reliqua carmina omnia, quibus opus eſſet in ſacris publicis, in vnum volumen. Qua in re quum exſpectationi Principis et iudicio ſatisfeciſſes: vſi quidem certe adhuc ſunt vtroque libro omnes ſacerdotes magiſtrique ſcholarum, neque ſine magna diſcipulorum auditorumque vtilitate vti ſe eo fatentur: legit Te idem ille Princeps, praeter omnium opinionem, eum, ad cuius peculiarem curam ſalus ſua ſuorumque pertineret, ita quidem, vt oſtenderet, ſe admonitionibus Tuis nunquam iraturum, immo aequo eas ſemper auditurum animo,

mo, esse. Quod beneficium quanquam multi erant, qui ad alium potius quemuis, quam ad Te, tanto praesertim animo, delatum ab Principe optarent, quum quam nouum illud, quam singulare, esset, intellegerent: tamen quam parum commotus esset his iniquorum sermonibus ipse, Princeps etiam magis declarauit vndecim annis post. Quem enim honorem supra dixi Tibi ereptum fuisse inuidorum artibus, post mortem Meuschenii: eo Te, septuagenarium senem, auxit ornauitque, quamuis ringentibus iniquis, grauis Iosiae sapientia. Neque vero dubitari vllo modo posse puto, mi Pater, quin ista omnia acciderint ipsius dei voluntate et numine. Adeo praesenti eius adhuc vsus es auxilio omnibus in rebus et negotiis! Cui enim muneri Tu ipse speraras,

me-

memor fragilitatis humanae, vix vnum annum praefuturum esse; eo iam decem ipsos annos functus es, plaudente et approbante optimo quoque, ita, vt aegrotaueris decubuerisque grauiter nunquam: sed quum ante hos quinque annos timendum videretur, ne lumen alterius oculi amitteres, deus manum Hilmeri eximie agilem et doctam iussit Tuam seruatricem esse, auctore Fischero, experientissimo Viro, cuius mirifica diligentia et felicissima ars in tuenda valetudine Tua praedicabitur a me per omnem vitam; ita, vt ex eo tempore omnes partes Tuas agere ipse potueris. Iam quid de illis ornamentis dicam, quae ad Te profecta sunt ab Ernesto Friderico, magno illo Herede, vt dignitatis, ita virtutum paternarum omnium, benignitatis maxime

singu-

ſingularis et integrae religionis ſtudii acerrimi? Is enim non ſolum laudari a Te publice Patrem Ioſian iuſſit, ſed quum ſuperiore anno dies ille laetiſſimus illuxiſſet, quo ante quinquaginta annos dignitate ſacerdotii Te auctum cognoſſet, cum memoriae eius rei publice celebrandae Tibi poteſtatem conceſſit, tum accepit Te eodem illo die, reliquoſque ſacerdotes ſuos omnes, epulis magnificentiſſimis, atque adeo numum ſignari argenteum non minus, quam aureum, curauit, teſtem magnae illius raraeque felicitatis Tuae ſempiternum, et perpetuum liberalitatis indulgentiaeque Principalis praedicatorem. Quorum bonorum Tibi propriorum, eorumque publicorum, hoc eſt, ad ciuitatem Eccleſiamque Coburgenſem vniverſam pertinentium; priuata enim commoda, hoc eſt, ea, quae mihi deus

meiſ-

meiſque contingere per Te, Pater, iuſſit, libenter praetereo, ne inuidis videar, non tam dei benignitatem praedicare, quam meam fortunam efferre, voluiſſe; horum igitur bonorum accurata et diligens cogitatio qui fieri potuerit, quin animum meum totum tanto voluptatis laetitiaeque piae cumulo compleret, vt pietatis erga Te, atque adeo deum, ſuae monumentum ponere geſtiret eiuſmodi, quod quum ipſum perenne futurum eſſet, etiam grati mei aduerſus deum animi memoriam proderet omni poſteritati? Quale monumentum quum viderem Codicem eſſe Pentateuchi Graecum illum, cuius primam Particulam ſuperiore anno Kuhnoelii, Viri Maxime Reuerendi, Affinis Cariſſimi, nuptiis a me ſcis conſecratam eſſe: putaui, me recte poſſe altera eius

Parte

Parte memoriam diei Tui commendare posteris, etiam sola, non addita comite disputatiuncula, qua de virtutibus et copiis Codicis exponeretur. Quem laborem tenuitas valetudinis et imbecillitas differre in aliud tempus coëgit. Deus igitur, cui placuit fidem Tuam, Pater, et sanctitatem donare viridi placidaque senectute, adsit Tibi porro numine suo et auxilio, Teque, vbi emensus fueris peregerisque vitae Tuae curriculum, aeternorum impertiatur gaudiorum praemio, quod ab eo Christi, seruatoris optimi, caussa scimus propositum esse constantiae pietatis fideique cuiusque, et ad quod ego et mei Tecum adspiramus cotidie. Ita vale, Carissime Pater, meque et meos amare perge. Scripsi Lipsiae in Schola Thomana Kal. Martiis A. C. CIↃ IↃCC LXVIII

ΑΡΙΘΜΟΙ

# ΑΡΙΘΜΟΙ.

I. [1]Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν ἐν τῇ ἐρήμῳ Α
τῇ Ϲινὰ, ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, ἐν μιᾷ τοῦ
μηνὸς τοῦ δευτέρου, ἔτους δευτέρου, ἐξελθόντων αὐ-
τῶν ἐκ γῆς Αἰγύπτου λέγων· [2]λάβετε ἀρχὴν
πάσης συναγωγῆς υἱῶν Ἰσραὴλ, κατὰ συγγε-
νείας αὐτῶν, κατ' οἴκους πατριῶν αὐτῶν, κατὰ
ἀριθμὸν ἐξ ὀνόματος αὐτῶν· κατὰ κεφαλὴν αὐ-
τῶν· πᾶς ἄρσην [3]ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω,
πᾶς ὁ ἐκπορευόμενος ἐν δυνάμει Ἰσραὴλ, ἐπι-
σκέψασθε αὐτοὺς σὺν δυνάμει αὐτῶν, σὺ καὶ
Ἀαρὼν, ἐπισκέψασθε αὐτούς· [4]καὶ μεθ' ὑμῶν
ἔσονται ἕκαστος κατὰ φυλήν· ἕκαστος ἀρχόντων
κατ' οἴκους πατριῶν ἔσονται· [5]καὶ ταῦτα τὰ
ὀνόματα τῶν ἀνδρῶν, οἵτινες παραστήσονται μεθ'
ὑμῶν· τῶν Ῥουβεὶμ Ἐλισοὺρ, υἱὸς Ϲεδιούρ· [6]τῶν
Ϲυμεὼν, Ϲαλαμιὴλ, υἱὸς Ϲουρισαδαΐ· [7]τοῦ Ἰού-
δα, Ναασσὼν, υἱὸς Ἀμειναδάβ· [8]τῶν Ἰσσάχαρ,
Ναθαναὴλ, υἱὸς Ϲωγάρ· [9]τῶν Ζαβουλὼν, Ἐλι-
ὰβ' υἱὸς Χαιλών· [10]τῶν υἱῶν Ἰωσὴφ, τῶν

Ἐφραὶμ, Ἐλισαμὰ, υἱὸς Ἐμιὺδ· τῶν Μανασ-
σῆ, Γαμαλιὴλ υἱὸς Φαδασσὺρ· [11]τῶν Βενιαμεὶμ
Ἀβειδὰν, υἱὸς Γαδεωνέι· [12]τῶν Δὰν, Ἀχιέζερ,
υἱὸς Ἀμεισαδάν· [13]τῶν Ἀσὴρ, Φαγαιὴλ, υἱὸς
*94 Ἐχράν· * [14]τῶν Γὰδ, Ἐλισὰφ υἱὸς Ῥαγυήλ·
[15]τῶν Νεφθαλὶ, Ἀχειρὲ, υἱὸς Αἰνάν· [16]Οὗτοι
ἐπίκλητοι τῆς συναγωγῆς, ἄρχοντες τῶν φυλῶν
κατὰ πατρίας αὐτῶν χιλίαρχοι Ἰσραήλ εἰσιν·
B [17]Καὶ ἔλαβεν Μωϋσῆς καὶ Ἀαρὼν τοὺς ἄνδρας τού-
τους τοὺς ἀνακληθέντας ἐξ ὀνόματος, [18]καὶ πᾶ-
σαν τὴν συναγωγὴν ἐξεκκλησίασαν a) ἐν μιᾷ
τοῦ μηνὸς τοῦ δευτέρου ἔτους· καὶ ἐπεσκέπησαν
κατὰ γενέσεις αὐτῶν κατὰ πατρίας αὐτῶν,
κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν ἀπὸ εἰκοσαετοῦς
καὶ ἐπάνω, πὰν ἀρσενικὸν, κατὰ κεφαλὴν αὐ-
τῶν, [19]ὃν τρόπον συνέταξεν κύριος τῷ Μωϋσῇ,
καὶ ἐπεσκέπησαν ἐν τῇ ἐρήμῳ τοῦ Σινά·
A [20]Καὶ ἐγένοντο υἱοὶ Ῥουβὴν πρωτοτόκου Ἰσραὴλ, κατὰ
συγγενείας αὐτῶν, κατὰ δήμους αὐτῶν, κατ' οἴ-
κους πατριῶν αὐτῶν, κατὰ ἀριθμὸν ὀνομάτων
αὐτῶν, κατὰ κεφαλὴν αὐτῶν, πάντα ἀρσενικὰ
ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω· πᾶς ὁ ἐκπορευόμε-
νος ἐν τῇ δυνάμει, [21]ἡ ἐπίσκεψις αὐτῶν, ἐκ τῆς
φυλῆς Ῥουβὴν, ἓξ καὶ τεσσεράκοντα χιλιάδες
καὶ πεντακόσιοι·
[22]Τοῖς υἱοῖς Συμεὼν κατὰ συγγενείας αὐτῶν κατὰ
δήμους αὐτῶν, κατ' οἴκους πατριῶν αὐτῶν, κατὰ
κεφαλὴν αὐτῶν, πάντα ἀρσενικὰ ἀπὸ εἰκοσαε-
τοῦς καὶ ἐπάνω· πᾶς ὁ ἐκπορευόμενος ἐν τῇ
δυνά-

a) συνήγαγον

A ΑΡΙΘΜΗϹΙϹ ΤΩΝ ΥΙΩΝ ΙΗΛ ΑΠΟ ΕΙΚΟϹΑ
ΕΤΟΥϹ ΚΑΙ ΕΠΑΝΩ.

δυνάμει, 23 ἡ ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυλῆς Συ-
μεὼν ἐννέα καὶ πεντήκοντα χιλιάδες καὶ τε-
τρακόσιοι·
24 Τοῖς υἱοῖς Ἰούδα, κατὰ συγγενείας αὐτῶν κατὰ
δήμους αὐτῶν, κατ' οἴκους πατριῶν αὐτῶν, κατὰ
ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν αὐτῶν,
πάντα ἀρσενικὰ ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω· πᾶς
ὁ ἐκπορευόμενος ἐν τῇ δυνάμει, 25 ἡ ἐπίσκεψις
αὐτῶν ἐκ τῆς φυλῆς Ἰούδα, τέσσαρες καὶ ἑβ-
δομήκοντα χιλιάδες καὶ ἑξακόσιοι·
*26 Τοῖς υἱοῖς Ἰσσάχαρ κατὰ συγγενείας αὐτῶν, *95
κατὰ δήμους αὐτῶν, κατ' οἴκους πατριῶν αὐτῶν,
κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν
αὐτῶν, πάντα ἀρσενικὰ ἀπὸ εἰκοσαετοῦς καὶ ἐπά-
νω, πᾶς ὁ ἐκπορευόμενος ἐν τῇ δυνάμει, 27 ἡ
ἐπίσκεψις αὐτῶν, ἐκ τῆς φυλῆς Ἰσσάχαρ,
τέσσαρες καὶ πεντήκοντα χιλιάδες καὶ τετρα-
κόσιοι·
28 Τοῖς υἱοῖς Ζαβουλών, κατὰ συγγενείας αὐτῶν,
κατὰ δήμους αὐτῶν, κατ' οἴκους πατριῶν αὐτῶν,
κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν
αὐτῶν, πάντα ἀρσενικά, ἀπὸ εἰκοσαετοῦς καὶ
ἐπάνω· πᾶς ὁ ἐκπορευόμενος ἐν τῇ δυνάμει, 29 ἡ
ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυλῆς Ζαβουλῶν, ἑπτὰ
καὶ πεντήκοντα χιλιάδες καὶ τετρακόσιοι·
30 Τοῖς υἱοῖς Ἰωσὴφ υἱοῖς Ἐφραὶμ κατὰ συγγενείας
αὐτῶν· κατὰ δήμους αὐτῶν, κατ' οἴκους πατριῶν
αὐτῶν, κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ
κεφαλὴν αὐτῶν, πάντα ἀρσενικὰ ἀπὸ εἰκοσαε-
τοῦς καὶ ἐπάνω· πᾶς ὁ ἐκπορευόμενος ἐν τῇ δυ-
νάμει, 31 ἡ ἐπίσκεψις αὐτῶν, ἐκ τῆς φυλῆς
Ἐφραὶμ τεσσεράκοντα χιλιάδες καὶ πεντακόσιοι·

32 Τοῖς υἱοῖς Μανασσῆ, κατὰ συγγενείας αὐτῶν,
κατὰ δήμȣς αὐτῶν, κατ᾽ οἴκȣς πατριῶν αὐτῶν,
κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν
αὐτῶν, πάντα ἀρσενικὰ, ἀπὸ εἰκοσαετȣ̃ς καὶ
ἐπάνω· πᾶς ὁ ἐκπορευόμενος ἐν τῇ δυνάμει, 33 ἡ
ἐπίσκεψις αὐτῶν, ἐκ τῆς φυλῆς Μανασσῆ, δύο
καὶ τριάκοντα χιλιάδες καὶ διακόσιοι·
34 Τοῖς υἱοῖς Βενιαμεὶμ κατὰ συγγενείας αὐτῶν,
κατὰ δήμȣς αὐτῶν, κατ᾽ οἴκȣς πατριῶν αὐτῶν,
κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν
αὐτῶν· πάντα ἀρσενικὰ ἀπὸ εἰκοσαετȣ̃ς καὶ
*96 ἐπά*νω· πᾶς ὁ ἐκπορευόμενος ἐν τῇ δυνάμει,
35 ἡ ἐπίσκεψις αὐτῶν, ἐκ τῆς φυλῆς Βενιαμεὶμ,
πέντε καὶ τριάκοντα χιλιάδες καὶ τετρακόσιοι·
36 Τοῖς υἱοῖς Γὰδ κατὰ συγγενείας αὐτῶν, κατὰ
δήμȣς αὐτῶν, κατ᾽ οἴκȣς πατριῶν αὐτῶν, κατὰ
ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν αὐ-
τῶν, πάντα ἀρσενικὰ, ἀπὸ εἰκοσαετȣ̃ς καὶ ἐπά-
νω· πᾶς ὁ ἐκπορευόμενος ἐν τῇ δυνάμει, 37 ἡ
ἐπίσκεψις αὐτῶν, ἐκ τῆς φυλῆς Γὰδ, πέντε καὶ
τεσσεράκοντα χιλιάδες, καὶ ἑξακόσιοι καὶ πεν-
τήκοντα·
38 Τοῖς υἱοῖς Δὰν, κατὰ συγγενείας αὐτῶν, κατὰ
δήμȣς αὐτῶν, κατ᾽ οἴκȣς πατριῶν αὐτῶν, κατὰ
ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν αὐ-
τῶν, πάντα ἀρσενικὰ, ἀπὸ εἰκοσαετȣ̃ς καὶ ἐπά-
νω· πᾶς ὁ ἐκπορευόμενος ἐν τῇ δυνάμει, 39 ἡ
ἐπίσκεψις αὐτῶν, ἐκ τῆς φυλῆς Δὰν, δύο καὶ
ἑξήκοντα χιλιάδες καὶ ἑπτακόσιοι·
40 Τοῖς υἱοῖς Ἀσὴρ, κατὰ συγγενείας αὐτῶν, κατὰ
δήμȣς αὐτῶν, κατ᾽ οἴκȣς πατριῶν αὐτῶν, κατὰ
ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν αὐ-
τῶν,

τῶν, πάντα ἀρσενικὰ ἀπὸ εἰκοσαετοῦς καὶ ἐπά-
νω· πᾶς ὁ ἐκπορευόμενος ἐν τῇ δυνάμει 41 ἡ ἐπί-
σκεψις αὐτῶν ἐκ τῆς φυλῆς Ἀσὴρ, μία καὶ τεσ-
σεράκοντα χιλιάδες, καὶ πεντακόσιοι·
42 Τοῖς υἱοῖς Νεφθαλεὶ, κατὰ συγγενείας αὐτῶν,
κατὰ δήμους αὐτῶν, κατ᾽ οἴκους πατριῶν αὐτῶν,
κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν
αὐτῶν, πάντα ἀρσενικὰ, ἀπὸ εἰκοσαετοῦς καὶ
ἐπάνω· πᾶς ὁ ἐκπορευόμενος ἐν τῇ δυνάμει, 43 ἡ
ἐπίσκεψις αὐτῶν: ἐκ τῆς φυλῆς Νεφθαλεὶ, τρεῖς
καὶ πεντήκοντα χιλιάδες καὶ τετρακόσιοι·
44 Αὕτη ἡ ἐπίσκεψις, ἣν ἐπεσκέψαντο Μωϋσῆς καὶ Γ
Ἀαρὼν, * καὶ οἱ ἄρχοντες Ἰσραὴλ, δώδεκα ἄν- *97
δρες, ἀνὴρ εἷς κατὰ φυλὴν μίαν· κατὰ φυλὴν
οἴκων πατρίας αὐτῶν ἦσαν· 45 καὶ ἐγένετο πᾶσα
ἡ ἐπίσκεψις τῶν υἱῶν Ἰσραὴλ, σὺν δυνάμει αὐ-
τῶν ἀπὸ εἰκοσαετοῦς καὶ ἐπ᾽άνω· πᾶς ὁ ἐκπορευό-
μενος παρατάξασθαι ἐν Ἰσραὴλ, 46 ἑξακόσιαι
χιλιάδες καὶ τρισχίλιοι, καὶ πεντακόσιοι, καὶ
πεντήκοντα †)· 47 Οἱ δὲ Λευῖται, ἐκ τῆς φυλῆς
πατρίας αὐτῶν, οὐ συνεπεσκέπησαν ἐν τοῖς υἱοῖς
Ἰσραήλ·
48 Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν λέγων· 49 ὅρα, Δ
τὴν φυλὴν τὴν τοῦ Λευὶ, οὐ συνεπισκέψῃ, καὶ τὸν
ἀριθμὸν αὐτῶν οὐ λήψῃ ἐν μέσῳ τῶν υἱῶν
Ἰσραήλ· 50 καὶ σὺ ἐπίστησον τοὺς Λευΐτας ἐπὶ τὴν
σκηνὴν τοῦ μαρτυρίου, καὶ ἐπὶ πάντα τὰ σκεύη
αὐτῆς, καὶ ἐπὶ πάντα ὅσα ἐστὶν ἐν αὐτῇ· αὐ-
τοὶ ἀροῦσιν τὴν σκηνὴν, καὶ πάντα τὰ σκεύη
αὐτῆς, καὶ αὐτοὶ λειτουργήσουσιν ἐν αὐτῇ, καὶ
κύκλῳ τῆς σκηνῆς παρεμβαλοῦσιν· 51 καὶ ἐν τῷ

 ἐξαί-

†) χγφν.

ἐξαίρειν τὴν σκηνὴν, καθελᾶσιν αὐτὴν
οἱ Λευῖται· καὶ ἐν τῷ παρεμβάλλειν
τὴν σκηνὴν ἀναςήσᾶσιν· καὶ ὁ ἀλλογενὴς
ὁ προσπορευόμενος, ἀποθανέτω· [52] καὶ
παρεμβαλᾶσιν οἱ υἱοὶ Ἰσραὴλ, ἀνὴρ,
Ἐν τῇ ἑαυτᾶ τάξει, καὶ ἀνὴρ κατὰ τὴν αὐτᾶ
ἡγεμονίαν σὺν δυνάμει αὐτῶν· [53] οἱ δὲ Λευῖται,
παρεμβαλέτωσαν ἐναντίοι b), κύκλῳ τῆς σκηνῆς
τᾶ μαρτυρίᾶ, καὶ ᾶκ ἔςαι ἁμάρτημα ἐν υἱοῖς
Ἰσραήλ· καὶ φυλάξᾶσιν οἱ Λευῖται αὐτοὶ, τὴν
φυλακὴν τῆς σκηνῆς τᾶ μαρτυρίᾶ· [54] καὶ ἐποίη-
σαν οἱ υἱοὶ Ἰσραὴλ κατὰ πάντα, ἃ ἐνετείλατο
κύριος τῷ Μωϋσῇ καὶ Ἀαρὼν, ᾶτω ἐποίη-
B σαν· II. [1] Καὶ ἐλάλησεν κύριος πρὸς
Μωϋσὴν καὶ Ἀαρὼν λέγων· [2] ἄνθρωπος ἐχόμενος
E κατὰ τὰς σημέας, κατ᾽ οἴκᾶς πατριῶν αὐτῶν,
παρεμβαλέτωσαν οἱ υἱοὶ Ἰσραὴλ ἐναντίοι κύκλῳ
*98 τῆς σκηνῆς τᾶ * μαρτυρίᾶ, παρεμβαλᾶσιν οἱ
υἱοὶ Ἰσραήλ· [3] καὶ οἱ παρεμβάλλοντες πρῶτοι
κατ᾽ ἀνατολάς· τάγμα παρεμβολῆς Ἰᾶδα, σὺν
δυνάμει αὐτῶν· καὶ ὁ ἄρχων τῶν υἱῶν Ἰᾶδα,
Ναασσὼν, υἱὸς Ἀμειναδὰβ· [4] δύναμις αὐτᾶ οἱ
ἐπεσκεμμένοι, τέσσαρες καὶ ἑβδομήκοντα χιλιά-
δες καὶ ἑξακόσιοι· [5] καὶ οἱ παρεμβάλλοντες
ἐχόμενοι φυλῆς Ἰσσάχαρ· καὶ ὁ ἄρχων τῶν
υἱῶν Ἰσσάχαρ Ναθαναὴλ υἱὸς Σωγάρ· [6] δύνα-
μις αὐτᾶ οἱ ἐπεσκεμμένοι, τέσσαρες καὶ πεντή-
κοντα χιλιάδες καὶ τετρακόσιοι· [7] καὶ οἱ παρεμ-
βάλλοντες ἐχόμενοι, φυλὴ Ζαβᾶλὼν, καὶ ὁ ἄρ-
χων

B ΔΙΑΤΑΓΗ ΠΟΡΕΙΑΣ ΤΟΥ ΙΣΡΑΗΛ ΚΑΙ ΤΩΝ ΛΕΥΙΤΩΝ.

b) ἐναντίοι κυρίᾶ.

χων τῶν υἱῶν Ζαβουλὼν, Ἐλιὰβ' υἱὸς Χαιλών·
8 δύναμις αὐτοῦ οἱ ἐπεσκεμμένοι, ἑπτὰ καὶ πεν-
τήκοντα χιλιάδες καὶ τετρακόσιοι· 9 πάντες οἱ
ἐπεσκεμμένοι c) ἐκ τῆς παρεμβολῆς Ἰούδα, ἑκα-
τὸν καὶ ὀγδοήκοντα χιλιάδες, καὶ ἑξακισχίλιοι
καὶ τετρακόσιοι· σὺν δυνάμει αὐτῶν πρῶτοι ἐξ-
αροῦσιν d), 10 τάγμα παρεμβολῆς Ῥουβὴν πρὸς
νότον e), σὺν δυνάμει αὐτῶν· καὶ ὁ ἄρχων τῶν
υἱῶν Ῥουβὴν, Ἐλισοὺρ, υἱὸς Σεδιοὺρ, 11 δύναμις
αὐτοῦ οἱ ἐπεσκεμμένοι, ἓξ καὶ τεσσαράκοντα χι-
λιάδες καὶ πεντακόσιοι· 12 καὶ οἱ παρεμβάλλον-
τες ἐχόμενοι αὐτοῦ, φυλὴ Συμεών· καὶ ὁ ἄρχων
τῶν υἱῶν Σαλαμιὴλ, υἱὸς Σουριδαὶ, 13 δύναμις
αὐτοῦ οἱ ἐπεσκεμμένοι, ἐννέα καὶ πεντήκοντα χι-
λιάδες καὶ τριακόσιοι· 14 καὶ οἱ παρεμβάλλον-
τες ἐχόμενοι αὐτοῦ, φυλὴ Γὰδ' καὶ ὁ ἄρχων τῶν
υἱῶν Γὰδ, Ἐλισὰφ, υἱὸς Ῥαγουήλ· 15 δύναμις
αὐτοῦ οἱ ἐπεσκεμμένοι, πέντε καὶ τεσσαράκοντα
χιλιάδες καὶ ἑξακόσιοι καὶ πεντήκοντα· 16 πάν-
τες οἱ ἐπεσκεμμένοι τῆς παρεμβολῆς Ῥουβὴν, μία
καὶ πεντήκοντα καὶ ἑκατὸν χιλιάδες καὶ τετρα-
κόσιοι καὶ πεντήκοντα, σὺν δυνάμει αὐτῶν, δεύ-
τεροι ἐξαροῦσιν f)· 17 καὶ ἀρθήσεται ἡ σκηνὴ τοῦ
μαρτυρίου, καὶ ἡ παρεμβολὴ * τῶν Λευιτῶν, *99
μέσον τῶν παρεμβολῶν· ὡς παρεμβαλοῦσιν,
οὕτως καὶ ἐξαροῦσιν, ἕκαστος ἐχόμενος κατὰ τάγ-
μα g) αὐτῶν· 18 τάγμα παρεμβολῆς Ἐφραὶμ
παρὰ h) θάλασσαν σὺν δυνάμει αὐτῶν· καὶ ὁ ἄρ-
χων τῶν υἱῶν Ἐφραὶμ' Ἐλισαμὰ, υἱὸς Σεμιοὺδ' 19 δύ-



c) ἠριθμημένοι. d) ἀναζεύξουσιν.
e) λίβα. f) ἀναζεύξουσιν.
g) καθηγεμονίαν. h) κατὰ

ναμις αὐτοῦ οἱ ἐπεσκεμμένοι, τεσσαράκοντα χιλιά-
δες καὶ πεντακόσιοι· [20] καὶ οἱ παρεμβάλλοντες ἐχό-
μενοι, φυλὴ Μανασσῆ· καὶ ὁ ἄρχων τῶν υἱῶν Μανα-
σσῆ, Γαμαλιὴλ υἱὸς Φαδασσοὺρ· [21] δύναμις αὐτοῦ
οἱ ἐπεσκεμμένοι, δύο καὶ τριάκοντα χιλιάδες
καὶ διακόσιοι· [22] καὶ οἱ παρεμβάλλοντες ἐχόμε-
νοι φυλὴ Βενιαμεὶμ, καὶ ὁ ἄρχων τῶν υἱῶν Βεν-
ιαμεὶμ, Ἀβιδὰν, υἱὸς Γαδεωνί, [23] δύναμις αὐτοῦ
οἱ ἐπεσκεμμένοι, πέντε καὶ τριάκοντα χιλιάδες
καὶ τετρακόσιοι· [24] πάντες οἱ ἐπεσκεμμένοι τῆς
παρεμβολῆς Ἐφραὶμ, ἑκατὸν χιλιάδες καὶ ὀκτακισ-
χίλιοι, καὶ ἑκατόν· σὺν δυνάμει αὐτῶν τρίτοι ἐξα-
ροῦσιν i)· [25] τάγμα παρεμβολῆς Δὰν, πρὸς βοῤῥᾶν,
σὺν δυνάμει αὐτῶν· καὶ ὁ ἄρχων τῶν υἱῶν Δὰν,
Ἀχιέζερ, υἱὸς Ἀμισαδαΐ· [26] δύναμις αὐτοῦ οἱ ἐπεσκεμ-
μένοι, δύο καὶ ἑξήκοντα χιλιάδες καὶ ἑπτακόσιοι·
[27] Καὶ οἱ παρεμβάλλοντες ἐχόμενοι αὐτοῦ, φυλὴ
Ἀσήρ, καὶ ὁ ἄρχων τῶν υἱῶν Ἀσὴρ, Φαγαιὴλ, υἱὸς
Ἐχράν· [28] δύναμις αὐτοῦ οἱ ἐπεσκεμμένοι, μία
καὶ τεσσεράκοντα χιλιάδες καὶ πεντακόσιοι·
[29] καὶ οἱ παρεμβάλλοντες ἐχόμενοι, φυλὴ Νε-
φθαλεὶ· καὶ ὁ ἄρχων τῶν υἱῶν Νεφθαλεὶ, Ἀχειρὲ,
υἱὸς Αἰνάν· [30] δύναμις αὐτοῦ οἱ ἐπεσκεμμένοι τρεῖς,
καὶ πεντήκοντα χιλιάδες καὶ τετρακόσιοι· [31] πάν-
τες οἱ ἐπεσκεμμένοι τῆς παρεμβολῆς Δὰν, ἑπτὰ
καὶ πεντήκοντα καὶ ἑκατὸν χιλιάδες καὶ ἑξα-
κόσιοι, σὺν δυνάμει αὐτῶν ἔσχατοι ἐξαροῦσιν
κατὰ τάγμα αὐτῶν· [32] αὕτη k) ἡ ἐπίσκε
*100* ψις τῶν υἱῶν Ἰσραὴλ, κατ' οἴκους πατριῶν αὐ-
τῶν, πᾶσα ἡ ἐπίσκεψις τῶν παρεμβολῶν σὺν
ταῖς δυνάμεσιν, ἑξακόσιαι χιλιάδες καὶ τρισχί-
λιοι καὶ πεντακόσιοι καὶ πεντήκοντα· [33] οἱ δὲ Λε-
υῖται,

i) ἀναζεύξουσιν. k) οὗτος ὁ ἀριθμός:

υῖται, οὐ συνεπεσκέπησαν ἐν αὐτοῖς, καθὰ ἐνε-
τείλατο κύριος τῷ Μωϋσῇ· 34 καὶ ἐποίησαν οἱ υἱοὶ
Ἰσραὴλ, κατὰ πάντα ὅσα συνέταξεν κύριος τῷ
Μωϋσῇ· Οὕτως παρενέβαλον κατὰ τάγμα αὐ-
τῶν· καὶ οὕτως ἐξῆρον l) ἕκαστος ἐχόμενοι κατὰ
δήμους αὐτῶν, κατ' οἴκους πατριῶν αὐτῶν·
III. 1 Καὶ αὗται αἱ γενέσεις Ἀαρὼν καὶ Μωϋσῆ, ἐν S
ᾗ ἡμέρᾳ ἐλάλησεν κύριος τῷ Μωϋσῇ, ἐν ὄρει
Σινά· 2 καὶ ταῦτα τὰ ὀνόματα τῶν υἱῶν Ἀαρών·
πρωτότοκος Ναδὰβ' καὶ Ἀβιοὺδ' καὶ Ἐλεάζαρ, καὶ
Ἰθάμαρ· 3 ταῦτα τὰ ὀνόματα, τῶν υἱῶν Ἀαρὼν, οἱ
ἱερεῖς οἱ ἠλειμμένοι, οὓς ἐτελείωσαν τὰς χεῖρας
αὐτῶν τοῦ ἱερατεύειν· 4 καὶ ἐτελεύτησεν Ναδὰβ'
καὶ Ἀβιοὺδ' ἔναντι κυρίου προσφερόντων αὐτῶν
πῦρ ἀλλότριον ἔναντι κυρίου, ἐν τῇ ἐρήμῳ Σινὰ,
καὶ παιδία, οὐκ ἦν αὐτοῖς· καὶ ἱεράτευσαν Ἐλεά-
ζαρ, καὶ Ἰθάμαρ, μετὰ Ἀαρὼν τοῦ πατρὸς αὐτῶν·
5 Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν λέγων· 6 λάβε
τὴν φυλὴν τὴν Λευῒ, καὶ στήσεις αὐτοὺς ἐναντίον
Ἀαρὼν τοῦ ἱερέως, καὶ λειτουργήσουσιν αὐτῷ, 7 καὶ
φυλάξουσιν τὰς φυλακὰς αὐτοῦ· καὶ τὰς φυλα-
κὰς τῶν υἱῶν Ἰσραὴλ, ἔναντι τῆς σκηνῆς τοῦ μαρ-
τυρίου, ἐργάζεσθαι τὰ ἔργα τῆς σκηνῆς μαρτυρίου·
8 καὶ τὰς φυλακὰς τῶν υἱῶν Ἰσραὴλ, κατὰ πάν-
τα τὰ ἔργα τῆς σκηνῆς· 9 καὶ δώσεις τοὺς Λευΐ-
τας Ἀαρὼν τῷ ἀδελφῷ σου, καὶ τοῖς υἱοῖς αὐτοῦ
τοῖς ἱερεῦσιν, δόμα δεδομένοι οὗτοί μοι εἰσιν· CH
ἀπὸ τῶν υἱῶν Ἰσραὴλ 10 καὶ Ἀαρὼν, καὶ τοὺς υἱοὺς
αὐτοῦ, καταστήσεις ἐπὶ τῆς σκηνῆς τοῦ μαρτυρίου·
καὶ φυλάξουσιν τὴν ἱερατείαν αὐτῶν, καὶ πάντα
τὰ κατὰ τὸν βωμὸν m), καὶ τὰ ἔσω τοῦ κατα-



l) ἀναζεύγνυσαν.
m) ῥητῶς βωμὸν λέγει ὧδε τὸ θυσιαστήριον τοῦ θεοῦ.

*101 πετάσματος, καὶ ὁ ἀλλογενὴς n) ὁ α*πτό-
z μενος, ἀποθανεῖται· [11] καὶ ἐλάλησεν κύριος
Πρὸς Μωϋσῆν λέγων· [12] καὶ ἐγὼ ἰδȣ̀ εἴληφα τȣ̀ς
Λευΐτας ἐκ μέσȣ τῶν υἱῶν Ἰσραὴλ, ἀντὶ παν-
τὸς πρωτοτόκȣ διανοίγοντος μήτραν, παρὰ τῶν
υἱῶν Ἰσραὴλ, λύτρα αὐτῶν ἔσονται, καὶ ἔσον-
ται ἐμοὶ οἱ Λευΐται· [13] ἐμοὶ γὰρ πᾶν πρωτότο-
κον ἐν ᾗ ἡμέρᾳ ἐπάταξα πᾶν πρωτότοκον ἐν γῇ
Αἰγύπτȣ, ἡγίασα ἐμοὶ πᾶν πρωτότοκον ἐν
Ἰσραὴλ, ἀπὸ ἀνθρώπȣ ἕως κτήνȣς ἐμοὶ ἔσον-
Γ ται, ἐγὼ κύριος· [14] καὶ ἐλάλησεν κύριος πρὸς
Μωϋσῆν ἐν τῇ ἐρήμῳ Σινὰ λέγων· [15] ἀρίθμησον τȣ̀ς
Η υἱȣ̀ς Λευὶ, κατ᾽ οἴκȣς πατριῶν αὐτῶν, κατὰ
δήμȣς αὐτῶν, κατὰ συγγενείας αὐτῶν· πᾶν ἀρ-
σενικὸν ἀπὸ μηνιαίȣ καὶ ἐπάνω, ἐπισκέψασθε
αὐτȣ́ς· [16] καὶ ἐπεσκέψαντο αὐτȣ̀ς, Μωϋσῆς καὶ
Ἀαρὼν, διὰ o) φωνῆς κυρίȣ, ὃν τρόπον συνέτα-
ξεν κύριος αὐτοῖς· [17] καὶ ἦσαν ȣ̔͂τοι υἱοὶ Λευὶ ἐξ
ὀνομάτων αὐτῶν, Γεδσὼν, Καὰθ, καὶ Μεραρί·
[18] καὶ ταῦτα τὰ ὀνόματα τῶν υἱῶν Γεδσὼν, κατὰ
δήμȣς αὐτῶν, Λοβενὶ, καὶ Σεμεΐ· [19] καὶ οἱ υἱοὶ
Καὰθ, κατὰ δήμȣς αὐτῶν, Ἀμβρὰμ καὶ Ἰσ-
σαὰρ, Χεβρὼν, καὶ Ὀζιήλ· [20] καὶ υἱοὶ Με-
ραρεὶ, κατὰ δήμȣς αὐτῶν, Μοολὶ, καὶ ομȣσί·
ȣ̔͂τοί εἰσιν δῆμοι τῶν Λευϊτῶν, κατ᾽ οἴκȣς πα-
τριῶν αὐτῶν· [21] τῷ Γεδσὼν, δῆμος τȣ͂ Λοβενὶ,
καὶ δῆμος τȣ͂ Σεμεΐ· ȣ̔͂τοι δῆμοι τȣ͂ Γεδσὼν,
ἡ ἐπί-

Γ ΑΡΙΘΜΗΣΙΣ ΤΩΝ ΛΕΥΙΤΩΝ ΑΠΟ ΜΗΝΙΑΙ
ΟΥ ΚΑΙ ΕΠΑΝΩ ΚΑΙ ΤΩΝ ΠΡΩΤΟΤΟ
ΚΩΝ ΤΩΝ ΥΙΩΝ ΙΗΛ.

n) ὁ ἀλλότριος. o) κατὰ τὸ ῥῆμα κυρίȣ.

22 ἡ ἐπίσκεψις αὐτῶν, κατὰ ἀριθμὸν παντὸς
ἀρσενικȣ͂, ἀπὸ μηνιαίȣ καὶ ἐπάνω, ἡ ἐπίσκεψις
αὐτῶν, ἑπ]ακισχίλιοι καὶ πεντακόσιοι· 23 καὶ
οἱ ὑιοὶ Γεδσὼν, ὀπίσω τῆς σκηνῆς παρεμβαλȣ͂-
σιν παρὰ p) θάλασσαν, 24 καὶ ὁ ἄρχων οἴκȣ
πατρίας q) τȣ͂ δήμȣ τȣ͂ Γεδσὼν, Ἐλισὰφ, ὑιὸς
Δαὴλ· 25 καὶ ἡ φυλακὴ * ὑιῶν Γεδσὼν ἐν τῇ *103
σκηνῇ τȣ͂ μαρτυρίȣ· ἡ σκηνὴ r), καὶ τὸ κά-
λυμμα, καὶ τὸ κατακάλυμμα τῆς θύρας τῆς
σκηνῆς τȣ͂ μαρτυρίȣ, 26 καὶ τὰ ἱςία τῆς αὐλῆς,
καὶ τὸ καταπέτασμα τῆς πύλης τῆς αὐλῆς τῆς
ȣ͂σης ἐπὶ τῆς σκηνῆς· καὶ τὰ κατάλοιπα πάν-
των τῶν ἔργων αὐτȣ͂· 27 τῷ Καὰθ' δῆμος ὁ Ἀμ-
βράμ' εἷς, καὶ δῆμος ὁ Ἰσσάαρ, εἷς· καὶ δῆμος
ὁ Χεβρὼν, εἷς· καὶ δῆμος ὁ Ὀζιὴλ, εἷς· ȣ͂τοί εἰσιν
δῆμοι τȣ͂ Καὰθ, κατὰ ἀριθμὸν 28 πᾶν ἀρσενι-
κὸν, ἀπὸ μηνιαίȣ καὶ ἐπάνω, ὀκτακισχίλιοι καὶ
ἑξακόσιοι, φυλάσσοντες τὰς φυλακὰς τῶν ἁγίων·
29 οἱ δῆμοι τῶν ὑιῶν Καὰθ' παρεμβαλȣ͂σιν ἐκ
πλαγίων τῆς σκηνῆς κατὰ νότον s). 30 καὶ
ὁ ἄρχων οἴκȣ πατριῶν τῶν δήμων τȣ͂ Καὰθ'
Ἐλισαφὰν, ὑιὸς Ὀζιὴλ, 31 καὶ ἡ φυλακὴ αὐτῶν
ἡ

p) κατὰ

q) σημείωσαι, ὅτι ἡ πατρία, μᾶλλον περιεκτικωτέρα ἐςιν τῆς προσηγορίας τȣ͂ δήμȣ, ὡς εἶναι τὴν μὲν πατρίαν τȣ͂ Γεδεὼν, κατάγεσθαι δὲ ἐξ αὐτῆς, δῆμον τȣ͂ Λοβενὶ, καὶ δῆμον τȣ͂ Σεμεῒ, τῶν ὑιῶν Γεδσὼν, ἃ δὲ ἀπονέμει ἐνταῦθα τοῖς δήμοις εἰς φυλακὴν, ταῦτα ἐν τῷ ἑξῆς κεφαλαίῳ εἰς ἄρσιν, ἀλλὰ τὰ μὲν τῆς φυλακῆς ἐν τῷ παρεμβάλλειν τὴν σκηνήν· τὰ δὲ τῆς ἄρσεως ἐν τῷ ἀπαίρειν.

r) τȣτ' ἔςιν αἱ αὐλέαι τὸ κατακάλυμμα, τὰ δέρματα τῶν κριῶν τὰ ἠρυθροδανωμένα, καὶ τὰ δέρματα τὰ ὑακίνθινα, κάλυμμα δὲ τῆς θύρας, ὅπερ ἐκάλεσεν ἐν τῇ ἐξόδῳ ἐπίσπαςρον ἐν τῷ κ̅γ̅ κεφαλαίῳ.

s) λίβα.

ἡ κιβωτὸς, καὶ ἡ τράπεζα καὶ ἡ λυχνία, καὶ
τὰ θυσιαστήρια, καὶ τὰ σκεύη τοῦ ἁγίου, ὅσα
λειτουργοῦσιν ἐν αὐτοῖς· καὶ τὸ κατακάλυμμα t),
καὶ πάντα τὰ ἔργα αὐτῶν· 32 καὶ ὁ ἄρχων u)
ὁ ἐπὶ τῶν ἀρχόντων τῶν Λευϊτῶν, Ἐλεάζαρ,
υἱὸς Ἀαρὼν τοῦ ἱερέως, καθεστάμενος φυλάσσειν
τὰς φυλακὰς τῶν ἁγίων· 33 τῷ Μεραρὶ, δῆμος
ὁ Ὀμολὶ, καὶ δῆμος ὁμουσί· οὗτοί εἰσιν
δῆμοι τοῦ Μεραρὶ, 34 ἡ ἐπίσκεψις αὐτῶν,
κατὰ ἀριθμὸν πᾶν ἀρσενικὸν, ἀπὸ μηνιαίου
καὶ ἐπάνω, ἑξακισχίλιοι καὶ πεντήκοντα·
35 Καὶ ὁ ἄρχων οἴκου πατριῶν τοῦ δήμου τοῦ Μεραρὶ,
Σουριὴλ, υἱὸς Ἀβιχαια, ἐκ πλαγίων τῆς σκηνῆς
παρεμβαλοῦσι πρὸς βοῤῥᾶν, 36 ἡ ἐπίσκεψις τῆς
φυλακῆς υἱῶν Μεραρὶ, τὰς κεφαλίδας τῆς σκη-
νῆς, καὶ τοὺς μοχλοὺς αὐτῆς, καὶ τοὺς στύλους
αὐτῆς, καὶ τὰς βάσεις αὐτῆς, καὶ πάντα τὰ
σκεύη αὐτῶν, καὶ τὰ ἔργα αὐτῶν, 37 καὶ τοὺς
στύλους τῆς αὐλῆς κύκλῳ, καὶ τὰς βάσεις αὐ-
*103 τῶν, καὶ τοὺς πασσάλους * αὐτῶν, καὶ τοὺς κά-
λους x) αὐτῶν· 38 καὶ οἱ παρεμβάλλοντες κατὰ
πρόσωπον τῆς σκηνῆς τοῦ μαρτυρίου, ἀπ᾽ ἀνατο-
λῶν Μωϋσῆς καὶ Ἀαρὼν, καὶ οἱ υἱοὶ αὐτοῦ, φυ-
λάσσοντες τὰς φυλακὰς τοῦ ἁγίου, εἰς τὰς φυ-
λακὰς τῶν υἱῶν Ἰσραήλ· καὶ ὁ ἀλλογενὴς ὁ
προσπο-

t) τὸ διείργον τὸ ἅγιον, καὶ τὸ ἅγιον τῶν ἁγίων, ἕως τῆς ἐξόδου τονα.

u) σημείωσαι, ὅτι ἄρχων ἀρχόντων ὁ ἀρχιερεύς.

x) ἰστέον ὅτι ἐν τῇ ἐξόδῳ κάλον οὐδαμοῦ ἐμνημόνευσεν ἐν τῇ κατασκευῇ τῆς σκηνῆς ἐκεῖν, μᾶλλον ἐν αὐτοῖς ἐδέσμουν, τοὺς στύλους καὶ τὰ ἄλλα βαρέα σκεύη ἐπὶ τῶν ἁμαξῶν, διὰ τοῦτο γὰρ καὶ τέσσαρας αμάξας λαμβάνουσιν, οὗτοι κάτω ὡς βαρύτερα αἴροντες.

προσπορευόμενος y), ἀποθανεῖται· [39] πᾶσα z)
ἡ ἐπίσκεψις τῶν Λευϊτῶν ἃς ἐπεσκέψα-
το Μωϋσῆς καὶ Ἀαρὼν, διὰ φωνῆς κυρίȣ
κατὰ δήμȣς αὐτῶν, πᾶν ἀρσενικὸν ἀπὸ
μηνιαίȣ καὶ ἐπάνω, δύο καὶ εἴκοσι χι-
λιάδες· [40] καὶ εἶπεν κύριος πρὸς Μωϋσὴν Θ
λέγων· ἐπίσκεψαι πᾶν πρωτότοκον ἄρσεν τῶν
υἱῶν Ἰσραὴλ, ἀπὸ μηνιαίȣ καὶ ἐπάνω, καὶ λά-
βε τὸν ἀριθμὸν αὐτῶν ἐξ ὀνόματος, [41] καὶ λήψη
τȣ̀ς Λευΐτας ἐμοὶ, ἐγὼ κύριος· ἀντὶ πάντων τῶν
πρωτοτόκων τῶν υἱῶν Ἰσραήλ· καὶ τὰ κτήνη
τῶν Λευϊτῶν ἀντὶ πάντων τῶν πρωτοτόκων ἐν
τοῖς κτήνεσιν τῶν υἱῶν Ἰσραήλ· [42] καὶ ἐπεσκέ-
ψατο Μωϋσῆς, ὃν τρόπον ἐνετείλατο κύριος αὐ-
τῷ, πᾶν πρωτότοκον ἐν τοῖς υἱοῖς Ἰσραήλ· [43] καὶ
ἐγένοντο πάντα τὰ πρωτότοκα τὰ ἀρσενικὰ,
κατὰ ἀριθμὸν ἐξ ὀνόματος ἀπὸ μηνιαίȣ καὶ
ἐπάνω, ἐκ τῆς ἐπισκέψεως αὐτῶν, δύο καὶ εἴ-
κοσι χιλιάδες, καὶ τρεῖς καὶ ἑβδομήκοντα καὶ
διακόσιοι· [44] καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσὴν
λέγων· [45] λάβε τȣ̀ς Λευΐτας, ἀντὶ πάντων τῶν πρω-
τοτόκων τῶν υἱῶν Ἰσραὴλ, καὶ τὰ κτήνη τῶν
Λευϊτῶν, ἀντὶ τῶν κτηνῶν αὐτῶν, καὶ ἔσονται
ἐμοὶ οἱ Λευΐται ἐγὼ κύριος· [46] καὶ τὰ λύτρα
τριῶν καὶ ἑβδομήκοντα καὶ διακοσίων, οἱ πλεο-
νάζοντες παρὰ τȣ̀ς Λευΐτας ἀπὸ τῶν πρωτοτό-
κων τῶν υἱῶν Ἰσραήλ· [47] καὶ λήψῃ πέντε σίκλȣς
κατὰ κεφαλὴν, κατὰ τὸ δίδραχμον τὸ ἅγιον
λήψῃ, εἴκοσι ὀβολοὶ ὁ σίκλος· [48] καὶ δώσεις τὸ
ἀργύριον Ἀαρὼν, καὶ τοῖς υἱοῖς αὐτȣ̃, λύτρα
τῶν * πλεοναζόντων ἐν αὐτοῖς· [49] καὶ ἔλα- *104
βεν

y) ὁ ἁπτόμενος. z) ὁ ἀριθμός.

βεν Μωϋσῆς τὸ ἀργύριον τὰ λύτρα τῶν πλεο-
ναζόντων, εἰς τὴν ἐκλύτρωσιν τῶν Λευϊτῶν [50] πα-
ρὰ τῶν πρωτοτόκων τῶν υἱῶν Ἰσραὴλ, ἔλαβεν
τὸ ἀργύριον, χιλίους τριακοσίους ἑξήκοντα πέντε
σίκλους, κατὰ τὸν σίκλον τὸν ἅγιον· [51] καὶ ἔδω-
κεν Μωϋσῆς τὰ λύτρα τῶν πλεοναζόντων Ἀα-
ρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ, διὰ φωνῆς κυρίου, ὃν
τρόπον συνέταξεν [a]) κύριος τῷ Μωϋσῇ·

I/Δ IIII. [1] Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσὴν καὶ Ἀαρὼν
λέγων· [2] λάβε τὸ κεφάλαιον τῶν υἱῶν Κααθ,
ἐκ μέσου υἱῶν Λευὶ, κατὰ δήμους αὐτῶν, κατ'
οἴκους πατριῶν αὐτῶν, [3] ἀπὸ εἴκοσι καὶ πέντε
ἐτῶν καὶ ἐπάνω, καὶ ἕως πεντήκοντα ἐτῶν· πᾶς
ὁ εἰσπορευόμενος λειτουργεῖν ποιῆσαι πάντα τὰ
ἔργα ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου· [4] καὶ ταῦτα
τὰ ἔργα τῶν υἱῶν Κααθ' ἐκ μέσου υἱῶν Λευὶ,
κατὰ δήμους αὐτῶν, κατ' οἴκους πατριῶν αὐτῶν
ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, ἅγιον τῶν ἁγίων·
[5] καὶ εἰσελεύσονται Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ, ὅτ'
ἂν ἐξαίρῃ ἡ παρεμβολὴ, καὶ καθελοῦσιν τὸ
καταπέτασμα τὸ συσκιάζον, καὶ κατακαλύψουσιν
ἐν αὐτῷ τὴν κιβωτὸν τοῦ μαρτυρίου· [6] καὶ ἐπι-
θήσουσιν ἐπ' αὐτὸ κατακάλυμμα δέρμα ὑακίν-
θινον, καὶ ἐπιβαλοῦσιν ἐπ' αὐτὴν ἱμάτιον, ὅλον
ὑακίνθινον ἄνωθεν· καὶ διεμβαλοῦσιν τοὺς ἀνα-
φορεῖς, [7] καὶ ἐπὶ τὴν τράπεζαν τὴν προκειμέ-
νην, ἐπιβαλοῦσιν ἐπ' αὐτὴν ἱμάτιον ὁλοπόρφυρον,
καὶ τὰ τρυβλία, καὶ τὰς θυΐσκας, καὶ τοὺς
κυάθους, καὶ τὰ σπονδεῖα, ἐν οἷς σπένδει, καὶ
οἱ

Δ ΔΙΑΤΑΓΗ ΠΟΡΕΙΑΣ ΚΑΙ ΤΗΣ ΛΕΙΤΟΥΡΓΙΑΣ ΕΚΑΣΤΟΥ ΤΑΓΜΑΤΟΣ ΛΕΥΙΤΙΚΟΥ.

a) ἐνετείλατο.

οἱ ἄρτοι οἱ διὰ παντὸς, ἐπ᾽ αὐτῆς ἔσονται·
8 καὶ ἐπιβαλοῦσιν ἐπ᾽ αὐτὴν ἱμάτιον κόκκινον,
καὶ καλύψουσιν αὐτὴν καλύμματι δερματίνῳ
ὑακινθίνῳ, καὶ διεμβαλοῦσιν τοὺς ἀναφορεῖς αὐ-
τῆς, 9 καὶ λήψονται ἱμάτιον, καὶ καλύψου*σιν *105
τὴν λυχνίαν τὴν φωτίζουσαν, καὶ b) τοὺς δύο
λύχνους αὐτῆς, καὶ τὰς λαβίδας αὐτῆς, καὶ
τὰς ἐπαρυστρίδας αὐτῆς, καὶ πάντα τὰ ἀγγεῖα
τοῦ ἐλαίου αὐτῆς, οἷς c) λειτουργοῦσιν ἐν αὐτοῖς·
10 καὶ ἐμβαλοῦσιν αὐτὴν, καὶ πάντα τὰ σκεύη
αὐτῆς εἰς κάλυμμα δερμάτινον, ὑακίνθινον· καὶ
ἐπιθήσουσιν αὐτὴν ἐπ᾽ ἀναφορέων, 11 καὶ ἐπὶ
τὸ θυσιαστήριον τὸ χρυσοῦν, ἐπικαλύψουσιν ἱμά-
τιον ὑακίνθινον, καὶ ἐπικαλύψουσιν αὐτὸ, κα-
λύμματι δερματίνῳ ὑακινθίνῳ· καὶ διεμβα-
λοῦσιν τοὺς ἀναφορεῖς αὐτοῦ, 12 καὶ λήψονται
πάντα τὰ σκεύη τὰ λειτουργικὰ ὅσα λειτουργοῦ-
σιν ἐν αὐτοῖς ἐν τοῖς ἁγίοις· καὶ ἐμβαλοῦσιν εἰς
ἱμάτιον ὑακίνθινον, καὶ καλύψουσιν αὐτὰ κα-
λύμματι δερματίνῳ ὑακινθίνῳ, καὶ ἐπιθήσουσιν
ἐπ᾽ ἀναφορεῖς, 13 καὶ τὸν καλυπτῆρα ἐπιθήσου-
σιν ἐπὶ τὸ θυσιαστήριον· καὶ ἐπικαλύψουσιν
ἐπ᾽ αὐτὸ ἱμάτιον ὁλοπόρφυρον, 14 καὶ ἐπιθήσουσιν
ἐπ᾽ αὐτὸ πάντα τὰ σκεύη αὐτοῦ, ὅσοις λειτουρ-
γοῦσιν ἐν αὐτοῖς, καὶ τὰ πυρεῖα, καὶ τὰς κρεά-
γρας, καὶ τὰς φιάλας, καὶ τὸν καλυπτῆρα,

καὶ

b) τινὰ μὲν τῶν ἀντιγράφων ἀπροσδιορίστως ἔχει τοὺς λύχνους μὴ προσκειμένου τοῦ δύο πλὴν, οὕτω νοητέον, δύο λέγει τοὺς κλάδους τῆς λυχνίας τοὺς ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων τοῦ καυλοῦ· αἱ γὰρ καλούμεναι μύξαι ἑπτά εἰσιν· τοῦτ᾽ ἔστι τὰ στόματα ἐν οἷς εἰσὶν αἱ θρυαλλίδες ὡς εἶναι ἐν ἑκάστῳ κλάδῳ τρία, ἐν δὲ τῷ καυλῷ ἕν.

c) ὅσοις.

καὶ πάντα τὰ σκεύη τοῦ θυσιαστηρίου· καὶ ἐπι-
βαλοῦσιν ἐπ' αὐτὸ, κάλυμμα δερμάτινον ὑακίν-
θινον, καὶ διεμβαλοῦσιν τοὺς ἀναφορεῖς αὐτοῦ,
καὶ λήψονται ἱμάτιον πορφυροῦν, καὶ συγκαλύ-
ψουσιν τὸν λουτῆρα καὶ τὴν βάσιν αὐτοῦ, καὶ ἐμ-
βαλοῦσιν αὐτὰ εἰς κάλυμμα δερμάτινον ὑακίν-
θινον, καὶ ἐπιθήσουσιν ἐπ' ἀναφορεῖς· 15 καὶ
συντελέσουσιν Ἀαρὼν, καὶ οἱ υἱοὶ αὐτοῦ, καλύ-
πτοντες τὰ ἅγια, καὶ πάντα τὰ σκεύη τὰ ἅγια
ἐν τῷ ἐξαίρειν τὴν παρεμβολήν· καὶ μετὰ
ταῦτα εἰσελεύσονται οἱ υἱοὶ Καὰθ' αἴρειν, καὶ
οὐχ ἅψονται τῶν ἁγίων, ἵνα μὴ ἀποθάνωσιν·
ταῦτα ἀροῦσιν οἱ υἱοὶ Καὰθ' ἐν τῇ σκηνῇ τοῦ μαρ-
τυρίου, 16 ἐπίσκοπος d) Ἐλεάζαρ υἱὸς Ἀαρὼν τοῦ
*106 ἱερέως, τὸ ἔλαιον * τοῦ φωτὸς, καὶ τὸ θυμία-
μα τῆς συνθέσεως, καὶ ἡ θυσία ἡ καθ' ἡμέ-
ραν, καὶ τὸ ἔλαιον τῆς χρίσεως· ἡ ἐπισκοπὴ
ὅλης τῆς σκηνῆς, καὶ ὅσα ἐστὶν ἐν αὐτῇ ἐν τῷ
ἁγίῳ, καὶ ἐν πᾶσι τοῖς ἔργοις·
ΙΑ 17 Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν καὶ Ἀαρὼν λέ-
γων· 18 μὴ ὀλοθρεύσητε τῆς φυλῆς τὸν δῆμον
τὸν Καὰθ, ἐκ μέσου τῶν Λευϊτῶν· 19 τοῦτο ποιή-
σατε αὐτοῖς, καὶ ζήσονται, καὶ οὐ μὴ ἀποθά-
νωσιν, προσπορευομένων αὐτῶν πρὸς τὰ ἅγια
τῶν ἁγίων Ἀαρὼν, καὶ οἱ υἱοὶ αὐτοῦ εἰσπο-
ρευέσθωσαν, καὶ καταστήσωσιν αὐτοὺς ἕκα-
στον κατὰ τὴν ἀναφορὰν αὐτοῦ, 20 καὶ οὐ μὴ εἰσέλ-
θωσιν ἰδεῖν ἐξάπινα τὸ ἅγιον καὶ ἀποθανοῦνται·
21 Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν λέγων· 22 λάβε
τὴν ἀρχὴν τῶν υἱῶν Γεδσὼν, καὶ τούτους κατ'
οἴκους

d) CH τὸ τοῦ ἐπισκόπου ὄνομα ὅς ἐστιν ἄρχων ἀρχόντων, ὡς τὸ πρὸ τούτου κεφάλαιον δηλοῖ.

οἴκους πατριῶν αὐτῶν, κατὰ δήμους αὐτῶν [23] ἀπὸ
πέντε καὶ εἰκοσαετοῦς καὶ ἐπάνω, ἕως πεντή-
κονταετοῦς ἐπίσκεψαι αὐτούς· πᾶς ὁ εισπορευό-
μενος λειτουργεῖν καὶ ποιεῖν τὰ ἔργα ἐν τῇ σκη-
νῇ τοῦ μαρτυρίου· [24] αὕτη ἡ λειτουργία τοῦ δήμου
τοῦ Γεδσὼν, λειτουργεῖν καὶ αἴρειν, [25] καὶ ἀρεῖ
τὰς δέῤῥεις τῆς σκηνῆς, καὶ τὴν σκηνὴν τοῦ μαρ-
τυρίου, καὶ τὸ κατακάλυμμα e) αὐτῆς, καὶ τὸ
κάλυμμα τὸ ὑακίνθινον τὸ ὂν ἐπ᾽ αὐτὴν ἄνω-
θεν· καὶ τὸ κατακάλυμμα τῆς θύρας τῆς σκη-
νῆς τοῦ μαρτυρίου, [26] καὶ τὰ ἱςία τῆς αὐλῆς, ὅσα
ἐπὶ τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ τὰ περισσὰ
αὐτῶν, καὶ πάντα τὰ σκεύη τὰ λειτουργικὰ,
καὶ ὅσα λειτουργοῦσιν ἐν αὐτοῖς ποιήσουσιν· [27] κα-
τὰ ςόμα Ἀαρὼν καὶ τῶν υἱῶν αὐτοῦ, ἔςαι ἡ
λειτουργία τῶν υἱῶν Γεδσὼν, κατὰ πάσας τὰς
λειτουργίας αὐτῶν, καὶ κατὰ πάντα τὰ ἔργα
δι᾽ αὐτῶν, καὶ ἐπισκέψῃ αὐτοὺς ἐξ ὀνομάτων
πάντα τὰ ἐργαλία αὐτῶν·
[28] Αὕτη ἡ λειτουργία τῶν υἱῶν Γεδσὼν ἐν τῇ σκηνῇ
* τοῦ μαρτυρίου· καὶ ἡ φυλακὴ αὐτῶν ἐν χειρὶ *107
Ἰθάμαρ τοῦ υἱοῦ Ἀαρὼν τοῦ ἱερέως·
[29] Υἱοὶ Μεραρεὶ, κατὰ δήμους αὐτῶν, κατ᾽ οἴκους
πατριῶν αὐτῶν, ἐπισκέψεσθε αὐτοὺς [30] ἀπὸ πέντε

καὶ

e) οὕτως φησὶν καὶ ἐν τῷ ν κεφαλαίῳ τῆς ἐξόδου, καὶ ποιήσεις κατακάλυμμα τῇ σκηνῇ δέρματα κριῶν ἠρυθροδανώμενα· καὶ ἐπικαλύμματα δέρματα κριῶν ὑακίνθινα, ἅτινα καλεῖ τὸ πβ τῆς ἐξόδου κεφάλαιον διφθέρας· εἰκὸς γὰρ ταῦτα μὲν αἰθρίας οὔσης καὶ θέρους σκέπην παρέχειν τῇ σκηνῇ καὶ εὐπρέπειαν· χειμῶνος δὲ ἐπιγινομένου ἀρκεῖν τὰς δέῤῥεις, ἢ καὶ χειμῶνος ὥρᾳ, πάλιν τὰ δέρματα ἀναφαίρετα εἶναι διὰ τὸ χρειῶδες, ὡς ἀλεξήματα τῶν δέῤῥεων ἐν τοῖς ὄμβροις, καθάπερ ἐπὶ τῶν πλοίων.

καὶ εἰκοσαετοῦς καὶ ἐπάνω, ἕως πεντηκονταετοῦς
ἐπισκέψασθε αὐτούς· πᾶς ὁ εἰσπορευόμενος λει-
τουργεῖν τὰ ἔργα τῆς σκηνῆς τοῦ μαρτυρίου· 31 καὶ
ταῦτα τὰ φυλάγματα τῶν αἰρομένων ὑπ᾽ αὐ-
τῶν, κατὰ πάντα τὰ ἔργα αὐτῶν ἐν τῇ σκηνῇ
τοῦ μαρτυρίου· τὰς κεφαλίδας τῆς σκηνῆς, καὶ
τοὺς μοχλοὺς αὐτῆς, καὶ τοὺς στύλους αὐτῆς, καὶ
τὰς βάσεις αὐτῆς, καὶ τὸ κατακάλυμμα f),
καὶ αἱ βάσεις αὐτῶν, καὶ οἱ στύλοι αὐτῶν· καὶ
τὸ κατακάλυμμα g) τῆς θύρας τῆς σκηνῆς,
32 καὶ τοὺς στύλους τῆς αὐλῆς κύκλῳ, καὶ αἱ βά-
σεις αὐτῶν, καὶ τοὺς στύλους τοῦ καταπετάσμα-
τος τῆς πύλης τῆς αὐλῆς· καὶ τὰς βάσεις αὐ-
τῶν, καὶ τοὺς πασσάλους αὐτῶν, καὶ τοὺς κά-
λους αὐτῶν, καὶ πάντα τὰ σκεύη αὐτῶν, καὶ
πάντα τὰ λειτουργήματα αὐτῶν ἐξ ὀνομάτων
ἐπισκέψασθε αὐτούς, καὶ πάντα τὰ σκεύη τῆς
φυλακῆς τῶν αἰρομένων ὑπ᾽ αὐτῶν· 33 αὕτη ἡ
λειτουργία δήμου υἱῶν Μεραρεὶ, ἐν πᾶσι τοῖς ἔρ-
γοις αὐτῶν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, ἐν χειρὶ
Ἰθάμαρ

f) κάλυμμα ἐνταῦθα οἶμαι τὰ ἱστία τῆς αὐλῆς λέγει· οὐχ ὅτι αὐτοὶ ἐβάσταζον· τοῖς γὰρ υἱοῖς Γεδσὼν ἀπενενέμητο, ἀλλὰ τοὺς στύλους τούτων· οὐ γάρ ἐστιν ἐπινοῆσαι ἕτερον κάλυμμα ἔχον στύλους.

g) καὶ μὴν τοῖς υἱοῖς Γεδσὼν πρὸ ὀλίγου τοῦτο ἀπένειμεν, ἀλλὰ δῆλον ὡς ἀντὶ τῶν στύλων αὐτοῦ, αὐτὸ τὸ κάλυμμα τέθεικεν· νοῦς γάρ ἐστιν ἡ θεία γραφὴ, καὶ τὰς ἐνδείξεις τῶν νοημάτων, ἐναργεῖς παραδηλοῖ τοῖς προσέχουσιν· καὶ ἔνεστιν ἀκριβῶς καταμαθεῖν καὶ ἐκ τούτου, καὶ ἐκ τοῦ πρώτου τοῦ κεφαλαίου· πῶς τὰ μὲν ὑποστηρίζοντα καὶ ὑπερειδόντα τὴν σκηνὴν, τοῖς υἱοῖς Μεραρεὶ ἀποδέδωκεν, τὰ δὲ σκέποντα, καὶ καλύπτοντα, καὶ περιέποντα τὴν σκηνὴν τοῖς υἱοῖς Γεδσὼν, τοῦτο μὲν ἐν τῇ ἄρσει· τοῦτο δὲ ἐν τῇ φυλακῇ, καὶ τοῖς υἱοῖς Καὰθ τὰ ἅγια τῶν ἁγίων.

Ἰθάμαρ υἱȣ̃ Ααρὼν τȣ̃ ἱερέως· [34] καὶ ἐπε-
σκέψατο Μωϋσῆς καὶ Ααρὼν, καὶ οἱ ἄρχοντες
Ἰσραὴλ, τȣ̀ς υἱȣ̀ς Κααθ᾽ κατὰ δήμȣς αὐτῶν,
κατ᾽ οἴκȣς πατριῶν αὐτῶν, [35] ἀπὸ πέντε καὶ
εἰκοσαετȣ̃ς καὶ ἐπάνω, ἕως πεντηκονταετȣ̃ς· πᾶς
ὁ εἰσπορευόμενος λειτȣργεῖν, καὶ ποιεῖν τὰ ἔρ-
γα τῆς σκηνῆς τȣ̃ μαρτυρίȣ· [36] καὶ ἐγένετο ἡ
ἐπίσκεψις αὐτῶν κατὰ δήμȣς αὐτῶν, δισχίλιοι
ἑπτακόσιοι πεντήκοντα·
[37] Αὕτη ἡ ἐπίσκεψις δήμȣ Κααθ, πᾶς ὁ λειτȣρ-
γῶν ἐν τῇ σκηνῇ τȣ̃ μαρτυρίȣ, καθὰ ἐπεσκέψ***
* Μωϋσῆς καὶ Ααρὼν διὰ φωνῆς κυρίȣ ἐν χειρὶ Μωϋσῆ * 108
[38] καὶ ἐπεσκέπησαν υἱοὶ Γεδσὼν κατὰ δήμȣς αὐ-
τῶν, κατ᾽ οἴκȣς πατριῶν αὐτῶν, [39] ἀπὸ πέντε
καὶ εἰκοσαετȣ̃ς καὶ ἐπάνω, ἕως πεντηκονταετȣ̃ς·
πᾶς ὁ εἰσπορευόμενος λειτȣργεῖν, καὶ ποιεῖν τὰ
ἔργα ἐν τῇ σκηνῇ τȣ̃ μαρτυρίȣ· [40] καὶ ἐγένε-
το ἡ ἐπίσκεψις h) αὐτῶν, κατὰ δήμȣς αὐ-
τῶν, κατ᾽ οἴκȣς πατριῶν αὐτῶν, δισχίλιοι ἑξα-
κόσιοι τριάκοντα·
[41] Αὕτη ἡ ἐπίσκεψις δήμȣ υἱῶν Γεδσὼν, πᾶς ὁ λει-
τȣργῶν ἐν τῇ σκηνῇ τȣ̃ μαρτυρίȣ, ȣ̀ς ἐπεσκέ-
ψαντο Μωϋσῆς καὶ Ααρὼν διὰ φωνῆς κυρίȣ, ἐν
χειρὶ Μωϋσῆ· [42] ἐπεσκέπησαν δὲ καὶ δῆμος υἱῶν
Μεραρεὶ, κατὰ δήμȣς αὐτῶν, κατ᾽ οἴκȣς πα-
τριῶν αὐτῶν, [43] ἀπὸ πέντε καὶ εἰκοσαετȣ̃ς καὶ
ἐπάνω, ἕως πεντηκονταετȣ̃ς, πᾶς ὁ εἰσπορευόμε-
νος λειτȣργεῖν πρὸς τὰ ἔργα τῆς σκηνῆς τȣ̃ μαρ-
τυρίȣ· [44] καὶ ἐγενήθη ἡ ἐπίσκεψις αὐτῶν, κα-
τὰ δήμȣς αὐτῶν, κατ᾽ οἴκȣς πατριῶν αὐτῶν
τρισχίλιοι καὶ διακόσιοι·

 [45] Αὕτη

h) ὁ ἀριθμός.

45 Αὕτη ἡ ἐπίσκεψις δήμου υἱῶν Μεραρεὶ, οὓς ἐπεσκέ-
ψατο Μωϋσῆς καὶ Ἀαρὼν διὰ φωνῆς κυρίου, ἐν
χειρὶ Μωϋσῇ· 46 πάντες οἱ ἐπεσκεμμένοι, οὓς
ἐπεσκέψατο Μωϋσῆς καὶ Ἀαρὼν, καὶ οἱ ἄρχον-
τες υἱῶν Ἰσραὴλ τοὺς Λευΐτας, κατὰ δήμους αὐ-
τῶν, κατ᾽ οἴκους πατριῶν αὐτῶν, 47 ἀπὸ πέντε
καὶ εἰκοσαετοῦς καὶ ἐπάνω, ἕως πεντηκονταετοῦς·
πᾶς ὁ εἰσπορευόμενος πρὸς τὸ ἔργον i) τῶν ἔρ-
γων, κατὰ τὰ ἔργα τὰ αἰρόμενα ἐν τῇ σκηνῇ
τοῦ μαρτυρίου, 48 καὶ ἐγενήθησαν οἱ ἐπεσκεμμέ-
νοι, ὀκτακισχίλιοι πεντακόσιοι ὀγδοήκοντα, 49 διὰ
φωνῆς κυρίου ἐπεσκέψατο αὐτοὺς ἐν χειρὶ Μωϋ-
σῇ, ἄνδρα κατὰ ἄνδρα ἐπὶ τῶν ἔργων αὐτῶν,
καὶ ἐπὶ ὧν αἴρουσιν k) αὐτοὶ, καὶ ἐπεσκέπη-
σαν, ὃν τρόπον συνέταξεν κύριος τῷ Μωϋσῇ·
Ε *V. Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν λέγων·
*109 2 πρόσταξον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐξαποστειλά-
τωσαν ἐκ τῆς παρεμβολῆς πάντα λεπρὸν, καὶ
πάντα γονοῤῥυῆ, καὶ πάντα ἀκάθαρτον ἐπὶ
ψυχῇ, 3 ἀπὸ ἀρσενικοῦ ἕως θηλυκοῦ· ἐξαποστεί-
λατε

i) CH$\overset{o}{\underset{s}{\text{M}}}$ τὸ ἔργον τῶν ἔργων.

k) πρώτη ἐπίσκεψις τῶν ἕνδεκα φυλῶν ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω τῶν παραττατομένων εἰς πόλεμον· δευτέρα ἐπίσκεψις τῶν Λευϊτῶν ἀπὸ μηνιαίου καὶ ἐπάνω· τρίτη τῶν πρωτοτόκων τῶν υἱῶν Ἰσραὴλ ἐν ᾗ τοὺς Λευΐτας λαμβάνει ὁ θεὸς ἀντὶ τῶν πρωτοτόκων τῶν υἱῶν Ἰσραὴλ, κεφαλὴν ἀντὶ κεφαλῆς, καὶ ἐπειδὴ πλείους ἦσαν ὑπὲρ τοὺς Λευΐτας ἐν τοῖς πρωτοτόκοις σογ, τούτων ἕνεκεν ἐπικλαται τοῖς πρωτοτόκοις πᾶσιν τὸ δίδραχμον κατὰ κεφαλ᾽· τετάρτη ἐπίσκεψις αὐτῶν τῶν Λευϊτῶν ἀπὸ πέντε καὶ εἰκοσαετοῦς καὶ ἐπάνω, ἕως πεντηκονταετοῦς τῶν λειτουργούντων ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου:

Ε ΠΕΡΙ ΕΚΒΟΛΗΣ ΑΚΑΘΑΡΤΩΝ ΑΝΩΝ.

λατε ἔξω τῆς παρεμβολῆς, καὶ ȣ̓ μιανȣ̃σιν τὰς
παρεμβολὰς αὐτῶν, ἐν οἷς ἐγὼ καταγίνομαι ἐν
αὐτοῖς· [4] καὶ ἐποίησαν ȣ̔́τως οἱ ὑιοὶ Ἰσρα-
ὴλ, καὶ ἐξαπέςειλαν αὐτȣ̀ς, ἔξω τῆς παρεμ-
βολῆς, καθὰ ἐλάλησεν κύριος τῷ Μωϋσῇ, ȣ̔́τως
ἐποίησαν οἱ ὑιοὶ Ἰσραήλ·
[5] Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσὴν λέγων· [6] λά- ΙΓ
λησον τοῖς ὑιοῖς Ἰσραὴλ λέγων· ἀνὴρ ἢ γυνὴ, Ϛ
ὅςις ἐὰν ποιήσῃ ἀπὸ πασῶν τῶν ἁμαρτιῶν l)
τῶν ἀνθρωπίνων, καὶ παριδὼν παρίδῃ, καὶ
πλημμελήσῃ ἡ ψυχὴ ἐκείνη [7] ἐξαγορεύσει τὴν
ἁμαρτίαν ἣν ἐποίησεν m), καὶ ἀποδώσει τὴν
πλημμέλειαν· τὸ κεφάλαιον καὶ τὸ ἐπί-
πεμπτον αὐτȣ̃ προσθήσει ἐπ᾽ αὐτὸ, καὶ ἀπο-
δώσει τινὶ ἐπλημμέλησεν αὐτῷ· [8] Ἐὰν n) δὲ μὴ
ᾖ τῷ ἀνθρώπῳ ὁ ἀγχιςέυων, ὥςε ἀποδȣ̃ναι
αὐτῷ τὸ πλημμέλημα πρὸς αὐτὸν, τὸ πλημ-
μέλημα τὸ ἀποδιδόμενον τῷ κυρίῳ, τῷ ἱερεῖ
ἔςαι· πλὴν τȣ̃ κριȣ̃ τȣ̃ ἱλασμȣ̃, δι᾽ ȣ̃ ἐξιλά-
σεται



l) καλῶς τῶν ἀνθρωπίνων, ἃς ἀπηριθμησα τῷ ἐν τῷ Θ κεφαλαίῳ τȣ̃ λευϊτικȣ̃· τὰ γὰρ εἰς χρήματα φέροντα τὴν ζημίαν ἁμαρτήματα, ἐκεῖ ἀπηριθμήσατο, τὸ εἰς παραθήκην πλημμελῆσαι, ἢ περὶ κοινωνίας, ἢ περὶ ἁρπαγῆς χρημάτων ἐγκληθῆναι· τὰ γὰρ μὴ ἀνθρώπινα, ἀλλά τινα εἰς ὕβριν ἄντικρυς ἀναφέρεται τȣ̃ θεȣ̃, ȣ̓κ᾽ ἔχει ἐξιλασμὸν ὡς κάτω ἐν τῷ ΚΓ κεφαλαίῳ φησιν, μεθὸ καὶ τὸ κατὰ τὸν συλλέξαντα ξύλα ἐν σαββάτῳ ἐκτίθεται τῶν ἀνθρωπίνων ȣ̃ν μόνων ἑκȣσίων, ἔςιν ἄφεσις κατὰ τὸν νόμον.

m) ἥμαρτεν.

n) τȣ̃το φησὶν; ὅτι ἐὰν ἀδιάδοχος τελευτήσῃ ὁ ἐκ τȣ̃ πλημμελήματος ἀδικηθεὶς, αὐτὸ ὃ ἔδει ἐκείνῳ ἀποδίδοσθαι ὡσβακαντιον ἱερὸν ἔςω, καὶ διδόσθω τῷ ἱερεῖ, ἐκτὸς τȣ̃ κριȣ̃, ὃν ἔδει θύειν ὑπὲρ τῆς τοιάυτης πλημμελείας, καθὼς ἐν τῷ Θ κεφαλαίῳ τȣ̃ λευϊτικȣ̃ φησίν.

σεται ἐν αὐτῷ περὶ αὐτȣ͂· 9 καὶ πᾶσα
ἀπαρχὴ καὶ πάντα τὰ ἁγιαζόμενα ἐν υἱοῖς
Ἰσραὴλ, ὅσα ἐὰν προσφέρωσιν κυρίῳ, τῷ ἱερεῖ
αὐτῷ ἔςαι, 10 καὶ ἑκάςȣ τὰ ἡγιασμένα αὐτȣ͂
ἔςαι· καὶ ἀνὴρ ὃς ἂν δῷ τῷ ἱερεῖ αὐτῷ ἔςαι·
ΙΔ Ζ 11 Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν λέγων· 12 λά-
λησον τοῖς υἱοῖς Ἰσραὴλ καὶ ἐρεῖς πρὸς αὐτȣ́ς·
ἀνδρὸς ἀνδρὸς, ἐὰν παραβῇ ἡ γυνὴ αὐτȣ͂, καὶ
παίδῃ αὐτὸν ὑπεριδȣ͂σα, 13 καὶ κοιμηθῇ τίς μετ᾽
αὐτῆς κοίτην σπέρματος, καὶ λαθῃ ἐξ ὀφθαλ-
μῶν τȣ͂ ἀνδρὸς αὐτῆς, καὶ κρύψῃ, αὕτη δὲ ᾖ
μεμιαμμένη καὶ μάρτυς μὴ ᾖ κατ᾽ αὐτῆς, καὶ
*110 αὕτη μὴ ᾖ συνειλημμένη, 14 καὶ ἐπέλ*θῃ αὐ-
τῷ πνεῦμα ζηλώσεως, καὶ ζηλώσῃ τὴν γυναῖκα
αὐτȣ͂, αὕτη δὲ μεμίανται· ἢ ἐπέλθῃ αὐτῷ
πνεῦμα ζηλώσεως καὶ ζηλώσῃ τὴν γυναῖκα αὐ-
τȣ͂, αὕτη δὲ μὴ ᾖ μεμιαμμένη 15 καὶ ἄξει ὁ
ἄνθρωπος τὴν γυναῖκα αὐτȣ͂ πρὸς τὸν ἱερέα,
καὶ προσοίσει τὸ δῶρον περὶ αὐτῆς, τὸ δέκατον
τȣ͂ οἰφὶ, ἄλευρον κρίθινον, ȣ̓κ ἐπιχεεῖ ἐπ᾽ αὐτὸ
ἔλαιον, ȣ̓δὲ ἐπιθήσει ἐπ᾽ αὐτὸ λίβανον, ἔςιν
γὰρ θυσία ζηλοτυπίας, θυσία μνημοσύνȣ,
ἀναμιμνήσκȣσα ἁμαρτίαν· 16 καὶ προσάξει αὐ-
τὴν ὁ ἱερεὺς, καὶ ςήσει αὐτὴν ἔναντι κυρίȣ· 17 καὶ
λήψεται ὁ ἱερεὺς ὕδωρ καθαρὸν ζῶν, ἐν ἀγγείῳ
ὀςρακίνῳ, καὶ τῆς γῆς τῆς ȣ̓́σης ἐπὶ τȣ͂ ἐδάφȣς
τῆς σκηνῆς τȣ͂ μαρτυρίȣ· καὶ λαβὼν ὁ ἱερεὺς
ἐμβαλεῖ εἰς τὸ ὕδωρ, 18 καὶ ςήσει ὁ ἱερεὺς τὴν
γυναῖκα ἔναντι κυρίȣ, καὶ ἀποκαλύψει τὴν κε-
φαλὴν τῆς γυναικὸς, καὶ δώσει ἐπὶ τὰς χεῖρας
αὐτῆς

Ζ ΝΟΜΟΣ ΖΗΛΟΤΥΠΙΑΣ ΑΝΔΡΟΣ ΕΠΙ ΓΥΝΑΙΚΙ ΑΥΤΟΥ.

αὐτῆς τὴν θυσίαν τοῦ μνημοσύνου, τὴν θυσίαν
τῆς ζηλοτυπίας· ἐν δὲ τῇ χειρὶ τοῦ ἱερέως ἔσται
τὸ ὕδωρ, τοῦ ἐλεγμοῦ, τὸ ἐπικαταρώμενον τοῦτο·
19 καὶ ὁρκιεῖ αὐτὴν ὁ ἱερεύς, καὶ ἐρεῖ τῇ γυναι-
κί, εἰ μὴ κεκοίμηταί τις μετὰ σοῦ· εἰ μὴ παρα-
βέβηκας μιανθῆναι ὑπὸ τὸν ἄνδρα τὸν σεαυ-
τῆς, ἀθῶα ἴσθι ἀπὸ τοῦ ὕδατος τοῦ ἐλεγμοῦ, τοῦ
ἐπικαταρωμένου τούτου· 20 εἰ δὲ σὺ παραβέβη-
κας ὕπανδρος οὖσα, ἢ μεμίανσαι, καὶ ἔδωκέν
τις τὴν κοίτην αὐτοῦ ἐν σοί, πλὴν τοῦ ἀνδρός σου,
21 καὶ ὁρκιεῖ ὁ ἱερεὺς τὴν γυναῖκα ἐν τοῖς ὅρκοις
τῆς ἀρᾶς ταύτης, καὶ ἐρεῖ ὁ ἱερεὺς τῇ γυναικί·
δῴη σε κύριος ἐν ἀρᾷ, καὶ ἐνόρκιον ἐν μέσῳ τοῦ
λαοῦ σου, ἐν τῷ δοῦναι κύριον τὸν μηρόν σου δια-
πεπτωκότα, καὶ τὴν κοιλίαν σου πεπρησμένην·
22 καὶ εἰσελεύσεται τὸ ὕδωρ τὸ ἐπικαταρώμενον
τοῦτο εἰς τὴν κοιλίαν σου, πρῆσαι γαστέρα, καὶ
διαπεσεῖν μηρόν σου· καὶ ἐρεῖ * ἡ γυνή, γένοι- *III
το o)· 23 καὶ γράψει ὁ ἱερεὺς τὰς ἀρὰς ταύτας
εἰς βιβλίον, καὶ ἐξαλείψει εἰς τὸ ὕδωρ τοῦ ἐλεγ-
μοῦ τοῦ ἐπικαταρωμένου p) 24 καὶ ποτιεῖ τὴν γυ-
ναῖκα, τὸ ὕδωρ τοῦ ἐλεγμοῦ τοῦ ἐπικαταρωμένου·
καὶ εἰσελεύσεται εἰς αὐτὴν τὸ ὕδωρ τὸ ἐπικατα-
ρώμενον τοῦ ἐλεγμοῦ· 25 καὶ λήψεται ὁ ἱερεὺς ἐκ
χειρὸς τῆς γυναικός, τὴν θυσίαν τῆς ζηλοτυπίας,
καὶ ἐπιθήσει τὴν θυσίαν ἔναντι κυρίου· καὶ προσ-
οίσει αὐτὴν ἐπὶ τὸ θυσιαστήριον· 26 καὶ δράξεται ὁ
ἱερεὺς ἀπὸ τῆς θυσίας τὸ μνημόσυνον αὐτῆς, καὶ
ἀνοίσει αὐτὸ ἐπὶ τὸ θυσιαστήριον· καὶ μετὰ
ταῦτα ποτιεῖ τὴν γυναῖκα τὸ ὕδωρ, 27 καὶ ἔσται,



o) cr. αμην ἀμήν. AK. πεπιστωμένως πεπιστωμένως.
p) οι Λ. πικροῦ.

ἐὰν μὲν ᾖ μεμιαμμένη, καὶ λήθῃ λάθῃ τὸν
ἄνδρα αὐτῆς, καὶ εἰσελεύσεται εἰς αὐτὴν, τὸ ὕδωρ
τȣ͂ ἐλεγμȣ͂ τὸ ἐπικαταρώμενον, καὶ πρησθήσεται
τὴν κοιλίαν καὶ διαπεσεῖται ὁ μηρὸς αὐτῆς, καὶ
ἔσαι ἡ γυνὴ εἰς ἀρὰν ἐν τῷ λαῷ αὐτῆς· 28 Ἐὰν
δὲ μὴ μιανθῇ ἡ γυνὴ καὶ καθαρὰ ᾖ καὶ
ἀθώα ἔσαι, καὶ ἐκσπερματιεῖ σπέρμα·
29 Οὗτος ὁ νόμος τῆς ζηλοτυπίας, ᾧ ἂν παραβῇ ἡ
γυνὴ ὕπανδρος ȣ̂σα καὶ μιανθῇ· 30 ἢ ἄνθρωπος
ᾧ ἂν ἐπέλθῃ ἐπ' αὐτὸν πνεῦμα ζηλώσεως, καὶ
ζηλώσῃ τὴν γυναῖκα αὐτȣ͂, καὶ σήσει τὴν γυ-
ναῖκα αὐτȣ͂ ἔναντι κυρίȣ, καὶ ποιήσει αὐτῇ ὁ
ἱερεὺς, πάντα τὸν νόμον τȣ͂τον, 31 καὶ ἀθῶος ἔσαι
ὁ ἄνθρωπος ἀπὸ ἁμαρτίας· καὶ ἡ γυνὴ ἐκείνη,
λήψεται τὴν ἁμαρτίαν αὐτῆς·

ΙΕ VI. 1 Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν λέγων· 2 λά-
Η λησον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτȣ́ς·
ἀνὴρ ἢ γυνὴ ὃς ἂν μεγάλως εὔξηται εὐχὴν, ἀφα-
γνίσασθαι ἁγνίαν κυρίῳ, 3 ἀπὸ οἴνȣ καὶ σίκερα,
ἁγνισθήσεται ἀπὸ οἴνȣ· καὶ ὄξος ἐξ οἴνȣ· καὶ
ὄξος ἐκ σίκερα ȣ̓ πίεται· καὶ q) ὅσα κατεργά-
*112 ζεται ἐκ σαφυλῆς, ȣ̓ * πίεται· καὶ σαφυλὴν
πρόσφατον, καὶ σαφίδα ȣ̓ φάγεται, 4 πάσας
τὰς ἡμέρας τῆς εὐχῆς αὐτȣ͂, ἀπὸ πάντων ὅσα
γίνονται ἐξ ἀμπέλȣ· οἶνον, ἀπὸ σεμφύλων ἕως
γιγάρτȣ, ȣ̓ φάγεται; 5 πάσας τὰς ἡμέρας τῆς
εὐχῆς τȣ͂ ἁγνισμȣ͂ αὐτȣ͂· ξυρὸν ȣ̓κ ἐπελεύσεται
ἐπὶ τὴν κεφαλὴν αὐτȣ͂, ἕως ἂν πληρωθῶσιν αἱ
ἡμέραι, ὅσας ηὔξατο κυρίῳ· ἅγιος ἔσαι, τρέφων
κόμην

Η ΠΕΡΙ ΤΟΥ ΕΥΞΑΜΕΝΟΥ ΜΕΓΑΛΗΝ ΕΥΧΗΝ.

q) ΑΚ. ΣΤ. πᾶσαν ἀπόβρεξιν σαφυλῆς.

κόμην τρίχα κεφαλῆς, 6 πάσας τὰς ἡμέρας τῆς
εὐχῆς αὐτοῦ τῷ κυρίῳ αὐτοῦ· ἐπὶ πάσῃ ψυχῇ
τετελευτηκυίᾳ οὐκ εἰσελεύσεται· 7 ἐπὶ πατρὶ καὶ
μητρὶ καὶ ἐπ' ἀδελφῷ, καὶ ἐπ' ἀδελφῇ, οὐ
μιανθήσεται ἐπ' αὐτοῖς, ἀποθανόντων αὐτῶν·
ὅτι εὐχὴ αὐτοῦ ἐπ' αὐτῷ, ἐπὶ κεφαλῆς αὐτοῦ·
8 πάσας τὰς ἡμέρας τῆς εὐχῆς αὐτοῦ, ἅγιος
ἔσαι τῷ κυρίῳ· 9 Ἐὰν δέ τις θανάτῳ ἀπο-
θάνῃ ἐξάπινα ἐπ' αὐτῷ, παραχρῆμα μιανθή-
σεται ἡ κεφαλὴ εὐχῆς αὐτοῦ· καὶ ξυρή-
σεται τὴν κεφαλὴν αὐτοῦ, ᾗ ἂν ἡμέρᾳ καθαρι-
σθῇ, τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ξυρηθήσεται· 10 τῇ
δὲ ἡμέρᾳ τῇ ὀγδόῃ, οἴσει δύο τρυγόνας, ἢ δύο
νεοσσοὺς περιστερῶν πρὸς τὸν ἱερέα, ἐπὶ τὰς θύ-
ρας τῆς σκηνῆς τοῦ μαρτυρίου· 11 καὶ ποιήσει ὁ
ἱερεὺς, μίαν περὶ ἁμαρτίας, καὶ μίαν εἰς ὁλο-
καύτωμα, καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς,
περὶ ὧν ἥμαρτεν περὶ τῆς ψυχῆς, καὶ ἁγιάσει
τὴν κεφαλὴν αὐτοῦ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, 12 ᾗ
ἡγιάσθη κυρίῳ πάσας τὰς ἡμέρας τῆς εὐ-
χῆς· καὶ προσάξει ἀμνὸν ἐνιαύσιον εἰς
πλημμέλειαν, καὶ αἱ ἡμέραι αἱ πρότεραι, ἄλο-
γοι ἔσονται, ὅτι ἐμιάνθη κεφαλὴ εὐχῆς αὐ-
τοῦ· 13 καὶ οὗτος ὁ νόμος τοῦ εὐξαμένου, ᾗ ἂν
ἡμέρᾳ πληρώσῃ ἡμέρας εὐχῆς αὐτοῦ, προσοίσει
αὐτὸς παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυ-
ρίου, 14 καὶ προσάξει τὸ δῶρον αὐτοῦ τῷ κυρίῳ
ἀμνὸν ἐνιαύσιον ἄμωμον ἕνα εἰς ὁλοκαύτωμα·
καὶ ἀμνάδα * ἐνιαυσίαν ἄμωμον, μίαν εἰς ἁμαρ- *113
τίαν· καὶ κριὸν ἕνα ἄμωμον εἰς σωτήριον· 15 καὶ
κανοῦν ἀζύμων, σεμιδάλεως ἄρτους ἀναπεποιημέ-
νους ἐν ἐλαίῳ: καὶ λάγανα ἄζυμα κεχρισμένα

ἐν ἐλαίῳ, καὶ θυσίαν αὐτῶν, καὶ σπονδὴν αὐ-
τῶν· 16 καὶ προσοίσει ὁ ἱερεὺς ἔναντι κυρίου, καὶ
ποιήσει τὸ περὶ ἁμαρτίας αὐτοῦ, καὶ τὸ ὁλο-
καύτωμα αὐτοῦ· 17 καὶ τὸν κριὸν ποιήσει θυ-
σίαν σωτηρίου κυρίῳ, ἐπὶ τῷ κανῷ τῶν ἀζύμων,
καὶ ποιήσει ὁ ἱερεὺς τὴν θυσίαν αὐτοῦ καὶ τὴν
σπονδὴν αὐτοῦ, 18 καὶ ξυρήσεται ὁ ηὐγμένος r),
παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου τὴν
κεφαλὴν τῆς εὐχῆς αὐτοῦ· καὶ ἐπιθήσει τὰς τρί-
χας ἐπὶ τὸ πῦρ, ὅ ἐστιν ἐπὶ τὴν θυσίαν τοῦ σω-
τηρίου· 19 καὶ λήψεται ὁ ἱερεὺς τὸν βραχίονα
ἑφθὸν ἀπὸ τοῦ κριοῦ, καὶ ἄρτον ἕνα ἄζυμον ἀπὸ
τοῦ κανοῦ, καὶ λάγανον ἄζυμον ἕν· καὶ ἐπι-
θήσει ἐπὶ τὰς χεῖρας τοῦ ηὐγμένου, μετὰ τὸ
ξυρήσασθαι αὐτὸν τὴν κεφαλὴν αὐτοῦ· 20 καὶ
προσοίσει αὐτὰ ὁ ἱερεὺς ἐπίθεμα ἔναντι κυρίου,
ἅγιον ἔσται τῷ ἱερεῖ, ἐπὶ τοῦ στηθυνίου τοῦ ἐπιθέ-
ματος, καὶ ἐπὶ τοῦ βραχίονος τοῦ ἀφαιρέμα-
τος· καὶ μετὰ ταῦτα πίεται ὁ ηὐγμένος οἶ-
νον· 21 οὗτος ὁ νόμος τοῦ εὐξαμένου· ὃς ἂν εὔξηται
κυρίῳ δῶρον αὐτοῦ κυρίῳ, περὶ τῆς εὐχῆς χωρὶς
ὧν ἂν εὕρῃ ἡ χεὶρ αὐτοῦ κατὰ δύναμιν εὐχῆς
αὐτοῦ, ἧς ἂν εὔξηται κατὰ νόμον ἁγνείας τῷ
κυρίῳ·

IS Θ 22 Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν λέγων· 23 λά-
λησον Ἀαρὼν, καὶ τοῖς υἱοῖς αὐτοῦ λέγων· οὕτως
εὐλογήσετε τοὺς υἱοὺς Ἰσραὴλ, λέγοντες αὐτοῖς·
καὶ ἐπιθήσουσιν τὸ ὄνομά μου ἐπὶ τοὺς υἱοὺς Ἰσραὴλ,
καὶ ἐγὼ κύριος, εὐλογήσω αὐτούς· 24 εὐλογή[illegible]
σε κύριος καὶ φυλάξαι σε· 25 ἐπιφάναι [illegible]
πρόσωπον αὐτοῦ ἐπὶ σὲ, καὶ ἐλ[illegible]

r) ΑΚ. ὁ α[illegible]

κύριος τὸ πρόσωπον αὐτȣ̃ ἐπὶ σὲ, καὶ δώη σοι
εἰρήνην· VII. 1 Καὶ ἐγένετο τῆ ἡμέρᾳ ᾗ συν-
ετέ*λεσεν Μωϋσῆς, ὥςε ἀναςῆσαι τὴν σκηνὴν, *114
καὶ ἔχρισεν αὐτὴν, καὶ ἡγίασεν αὐτὴν, καὶ πάν-
τα τὰ σκέυη αὐτῆς, καὶ τὸ θυσιαςήριον, καὶ
πάντα τὰ σκέυη αὐτȣ̃, καὶ ἔχρισεν αὐτὰ, καὶ
ἡγίασεν αὐτὰ, 2 καὶ προσήνεγκαν οἱ ἄρχον-
τες Ἰσραὴλ, δώδεκα ἄρχοντες, οἴκων πατριῶν
αὐτῶν·
Οὗτοι ἄρχοντες φυλῶν· ȣ̃τοι οἱ παρεςηκότες ἐπὶ τῆς
ἐπισκοπῆς s), 3 καὶ ἤνεγκαν τὰ δῶρα αὐτῶν ἔναντι
κυρίȣ, ἓξ ἁμάξας λαμπηνικὰς t), καὶ δώδεκα βό-
ας, ἅμαξαν παρὰ δύο ἀρχόντων, καὶ μόσχον, πα-
ρὰ ἑκάςȣ· καὶ προσήνεγκαν ἐναντίον τῆς σκηνῆς·
4 Καὶ εἶπεν κύριος πρὸς Μωϋσὴν λέγων· 5 λάβε παῤ
αὐτῶν, καὶ ἔσονται πρὸς τὰ ἔργα τὰ λειτȣρ-
γικὰ τῆς σκηνῆς τȣ̃ μαρτυρίȣ· καὶ δώσεις αὐ-
τὰ τοῖς Λευΐταις, ἑκάςῳ κατὰ τὴν αὐτȣ̃ λει-
τȣργίαν· 6 καὶ λαβὼν Μωϋσῆς τὰς ἁμάξας,
καὶ τȣ̀ς βόας, ἔδωκεν αὐτὰ τοῖς Λευΐταις, 7 τὰς
δύο ἁμάξας, καὶ τȣ̀ς τέσσαρας βόας, ἔδωκεν
τοῖς υἱοῖς Γεδσὼν, κατὰ τὰς λειτȣργίας αὐτῶν,
8 καὶ τὰς τέσσαρας ἁμάξας, καὶ τȣ̀ς ὀκτὼ
βόας, ἔδωκεν τοῖς υἱοῖς Μεραρὶ, κατὰ τὰς λει-
τȣργίας αὐτῶν διὰ Ἰθάμαρ, τȣ̃ υἱȣ̃ Ἀαρὼν τȣ̃
ἱερέως· 9 καὶ τοῖς υἱοῖς Κααθ' ȣ̓κ ἔδωκεν, ὅτι
τὰ λειτȣρ[illegible]ματα τȣ̃ ἁγίȣ ἔχȣσιν, ἐπ' ὤμων
ἀρȣ̃σιν[illegible]

10 Καὶ

I[illegible] A[illegible]N ΠΡΟCΗΝΕΓΚΑΝ
[illegible]ΕΚ[illegible]ΤΕC.

[illegible]ς.

ἐν ἐλαίῳ, καὶ θυσίαν αὐτῶν, καὶ σπονδὴν αὐ-
τῶν· 16 καὶ προσοίσει ὁ ἱερεὺς ἔναντι κυρίου, καὶ
ποιήσει τὸ περὶ ἁμαρτίας αὐτοῦ, καὶ τὸ ὁλο-
καύτωμα αὐτοῦ· 17 καὶ τὸν κριὸν ποιήσει θυ-
σίαν σωτηρίου κυρίῳ, ἐπὶ τῷ κανῷ τῶν ἀζύμων,
καὶ ποιήσει ὁ ἱερεὺς τὴν θυσίαν αὐτοῦ καὶ τὴν
σπονδὴν αὐτοῦ, 18 καὶ ξυρήσεται ὁ ηὐγμένος r),
παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου τὴν
κεφαλὴν τῆς εὐχῆς αὐτοῦ· καὶ ἐπιθήσει τὰς τρί-
χας ἐπὶ τὸ πῦρ, ὅ ἐστιν ἐπὶ τὴν θυσίαν τοῦ σω-
τηρίου· 19 καὶ λήψεται ὁ ἱερεὺς τὸν βραχίονα
ἑφθὸν ἀπὸ τοῦ κριοῦ, καὶ ἄρτον ἕνα ἄζυμον ἀπὸ
τοῦ κανοῦ, καὶ λάγανον ἄζυμον ἕν· καὶ ἐπι-
θήσει ἐπὶ τὰς χεῖρας τοῦ ηὐγμένου, μετὰ τὸ
ξυρήσασθαι αὐτὸν τὴν κεφαλὴν αὐτοῦ· 20 καὶ
προσοίσει αὐτὰ ὁ ἱερεὺς ἐπίθεμα ἔναντι κυρίου,
ἅγιον ἔσται τῷ ἱερεῖ, ἐπὶ τοῦ στηθυνίου τοῦ ἐπιθέ-
ματος, καὶ ἐπὶ τοῦ βραχίονος τοῦ ἀφαιρέμα-
τος· καὶ μετὰ ταῦτα πίεται ὁ ηὐγμένος οἶ-
νον· 21 οὗτος ὁ νόμος τοῦ εὐξαμένου· ὃς ἂν εὔξηται
κυρίῳ δῶρον αὐτοῦ κυρίῳ, περὶ τῆς εὐχῆς χωρὶς
ὧν ἂν εὕρῃ ἡ χεὶρ αὐτοῦ κατὰ δύναμιν εὐχῆς
αὐτοῦ, ἧς ἂν εὔξηται κατὰ νόμον ἁγνείας τῷ
κυρίῳ·
IS 22 Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν λέγων· 23 λά-
Θ λησον Ἀαρὼν, καὶ τοῖς υἱοῖς αὐτοῦ λέγων· οὕτως
εὐλογήσετε τοὺς υἱοὺς Ἰσραὴλ, λέγοντες αὐτοῖς·
καὶ ἐπιθήσουσιν τὸ ὄνομά μου ἐπὶ τοὺς υἱοὺς Ἰσραὴλ,
καὶ ἐγὼ κύριος, εὐλογήσω αὐτούς· 24 εὐλογήσαι
σε κύριος καὶ φυλάξαι σε· 25 ἐπιφάναι κύριος τὸ
πρόσωπον αὐτοῦ ἐπὶ σὲ, καὶ ἐλεήσαι σε· 26 ἐπάραι
κύριος

r) AK. ὁ ἀφωρισμένος. CT. ναζειραῖος.

κύριος τὸ πρόσωπον αὐτοῦ ἐπὶ σὲ, καὶ δώη σοι
εἰρήνην· VII. 1 Καὶ ἐγένετο τῇ ἡμέρᾳ ᾗ συν-
ετέ*λεσεν Μωϋσῆς, ὥστε ἀναστῆσαι τὴν σκηνὴν, *114
καὶ ἔχρισεν αὐτὴν, καὶ ἡγίασεν αὐτὴν, καὶ πάν-
τα τὰ σκεύη αὐτῆς, καὶ τὸ θυσιαστήριον, καὶ
πάντα τὰ σκεύη αὐτοῦ, καὶ ἔχρισεν αὐτὰ, καὶ
ἡγίασεν αὐτὰ, 2 καὶ προσήνεγκαν οἱ ἄρχον-
τες Ἰσραὴλ, δώδεκα ἄρχοντες, οἴκων πατριῶν
αὐτῶν·
Οὗτοι ἄρχοντες φυλῶν· οὗτοι οἱ παρεστηκότες ἐπὶ τῆς
ἐπισκοπῆς s), 3 καὶ ἤνεγκαν τὰ δῶρα αὐτῶν ἔναντι
κυρίου, ἓξ ἁμάξας λαμπηνικὰς t), καὶ δώδεκα βό-
ας, ἅμαξαν παρὰ δύο ἀρχόντων, καὶ μόσχον, πα-
ρὰ ἑκάστου· καὶ προσήνεγκαν ἐναντίον τῆς σκηνῆς·
4 Καὶ εἶπεν κύριος πρὸς Μωϋσῆν λέγων· 5 λάβε παρ᾽
αὐτῶν, καὶ ἔσονται πρὸς τὰ ἔργα τὰ λειτουρ-
γικὰ τῆς σκηνῆς τοῦ μαρτυρίου· καὶ δώσεις αὐ-
τὰ τοῖς Λευΐταις, ἑκάστῳ κατὰ τὴν αὐτοῦ λει-
τουργίαν· 6 καὶ λαβὼν Μωϋσῆς τὰς ἁμάξας,
καὶ τοὺς βόας, ἔδωκεν αὐτὰ τοῖς Λευΐταις, 7 τὰς
δύο ἁμάξας, καὶ τοὺς τέσσαρας βόας, ἔδωκεν
τοῖς υἱοῖς Γεδσὼν, κατὰ τὰς λειτουργίας αὐτῶν,
8 καὶ τὰς τέσσαρας ἁμάξας, καὶ τοὺς ὀκτῶ
βόας, ἔδωκεν τοῖς υἱοῖς Μεραρὶ, κατὰ τὰς λει-
τουργίας αὐτῶν διὰ Ἰθάμαρ, τοῦ υἱοῦ Ἀαρὼν τοῦ
ἱερέως· 9 καὶ τοῖς υἱοῖς Καὰθ᾽ οὐκ ἔδωκεν, ὅτι
τὰ λειτουργήματα τοῦ ἁγίου ἔχουσιν, ἐπ᾽ ὤμων
ἀροῦσιν·

10 Καὶ

Ι ΠΕΡΙ ΤΩΝ ΔΩΡΩΝ ΩΝ ΠΡΟΣΗΝΕΓΚΑΝ ΟΙ ΔΩΔΕΚΑ ΑΡΧΟΝΤΕΣ.

s) ἀριθμήσεως.

t) ΑΚ. κατασκεπαστάς. ΣΤ. ὑπουργίας.

10 Καὶ προσήνεγκαν οἱ ἄρχοντες εἰς τὸν ἐγκαινισμὸν
τῦ θυσιαςηρίϋ ἐν τῇ ἡμέρᾳ ᾗ ἔχρισεν αὐτό·
καὶ προσήνεγκαν οἱ ἄρχοντες τὰ δῶρα αὐτῶν,
ἀπέναντι τῦ θυσιαςηρίϋ· 11 καὶ εἶπεν κύριος πρὸς
Μωϋσήν· ἄρχων εἷς, καθ' ἡμέραν, ἄρχων καθ-
ημέραν, προσοίσϋσιν τὰ δῶρα αὐτῶν εἰς τὸν
ἐγκαινισμὸν τῦ θυσιαςηρίϋ· 12 καὶ ἦν ὁ προσ-
φέρων τῇ ἡμέρᾳ τῇ πρώτῃ τὸ δῶρον αὐτῦ,
Νασσὼν, υἱὸς Ἀμειναδὰθ, ἄρχων τῆς φυλῆς
Ἰϋδα: 13 καὶ προσήνεγκεν τῶ δῶρον αὐτῦ, τρύ-
*115 βλιον, * ἀργυρῦν ἕν· τριάκοντα καὶ ἑκατὸν ὁλκὴ
αὐτῦ φιάλην μίαν ἀργυρᾶν, ἑβδομήκοντα σίκλων,
κατὰ τὸν σίκλον τὸν ἅγιον, ἀμφότερα πλήρη
σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς θυσίαν·
14 θυΐσκην μίαν δέκα χρυσῶν, πλήρη θυμιά-
ματος· 15 μόσχον ἕνα ἐκ βοῶν· κριὸν ἕνα, ἀμνὸν
ἐνιαύσιον ἕνα εἰς ὁλοκαύτωμα, 16 καὶ χίμαῤῥον
ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας, 17 καὶ εἰς θυσίαν
σωτηρίϋ· δαμάλεις δύο, κριϋς πέντε, τράγϋς
πέντε, ἀμνάδας ἐνιαυσίας πέντε· τῦτο τὸ δῶρον
Νασσὼν υἱῦ Ἀμειναδάβ·
18 Τῇ ἡμέρᾳ τῇ δευτέρᾳ, προσήνεγκεν Ναθαναὴλ
υἱὸς Σωγὰρ, ἄρχων τῆς φυλῆς Ἰσσάχαρ, 19 καὶ
προσήνεγκεν τὸ δῶρον αὐτῦ τρύβλίον ἀργυρῦν,
τριάκοντα καὶ ἑκατὸν ὁλκὴ αὐτῦ· φιάλην μίαν
ἀργυρὰν ἑβδομήκοντα σίκλων, κατὰ τὸν σίκλον
τὸν ἅγιον, ἀμφότερα πλήρη σεμιδάλεως, ἀνα-
πεποιημένης ἐν ἐλαίῳ εἰς θυσίαν· 20 θυΐσκην
μίαν, δέκα χρυσῶν πλήρη θυμιάματος, 21 μό-
σχον ἕνα ἐκ βοῶν· κριὸν ἕνα, ἀμνὸν ἐνιαύ-
σιον εἰς ὁλοκαύτωμα· 22 καὶ χίμαῤῥον ἐξ
αἰγῶν ἕνα περὶ ἁμαρτίας, 23 καὶ εἰς θυσίαν
σωτη-

σωτηρίȣ, δαμάλεις δύο, κριȣ̀ς πέντε· τρά-
γȣς πέντε· ἀμνάδας ἐνιαυσίας πέντε· τȣ̃-
το τὸ δῶρον Ναθαναὴλ υἱȣ̃ Σωγάρ·
24 Τῇ ἡμέρᾳ τῇ τρίτῃ, ἄρχων τῶν υἱῶν Ζαβȣλῶν
Ἐλιὰβ υἱὸς Χαιλὼν, 25 τὸ δῶρον αὐτȣ̃ τρύβλιον
ἀργυρȣ̃ν ἓν, τριάκοντα καὶ ἑκατὸν ὁλκὴ αὐτȣ̃·
φιάλην μίαν ἀργυρᾶν· ἑβδομήκοντα σίκλων κα-
τὰ τὸν σίκλον τὸν ἅγιον· ἀμφότερα πλήρη σε-
μιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς θυσίαν·
26 θυΐσκην μίαν δέκα χρυσῶν, πλήρη θυμιάμα-
τος, 27 μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμνὸν
ἐνιαύσιον εἰς ὁλοκαύτωμα, 28 καὶ χίμαῤῥον ἐξ
αἰγῶν ἕνα περὶ ἁμαρτίας· 29 καὶ εἰς θυσίαν σω-
τηρίȣ· δαμάλεις δύο, κριȣ̀ς πέντε, * τράγȣς* 116
πέντε, ἀμνάδας ἐνιαυσίας πέντε· τȣ̃το τὸ δῶρον
Ἐλιὰβ υἱȣ̃ Χαιλών·
30 Τῇ ἡμέρᾳ τῇ τετάρτῃ, ἄρχων τῶν υἱῶν Ῥȣβὴν,
Ἐλισȣ̀ρ, υἱὸς Σεδιȣ̀ρ, 31 τὸ δῶρον αὐτȣ̃ τρύβλιον
ἀργυρȣ̃ν ἓν, τριάκοντα καὶ ἑκατὸν ὁλκὴ αὐτȣ̃·
φιάλην μίαν ἀργυρᾶν, ἑβδομήκοντα σίκλων κα-
τὰ τὸν σίκλον τὸν ἅγιον· ἀμφότερα πλήρη σε-
μιδάλεως, ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς θυσίαν·
32 θυΐσκην μίαν δέκα χρυσῶν πλήρη θυμιάμα-
τος· 33 μόσχον ἕνα ἐκ βοῶν· κριὸν ἕνα, ἀμνὸν
ἕνα ἐνιαύσιον εἰς ὁλοκαύτωμα· 34 καὶ χίμαῤῥον
ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας· 35 καὶ εἰς θυσίαν
σωτηρίȣ· δαμάλεις δύο· κριȣ̀ς πέντε· τράγȣς
πέντε· ἀμνάδας ἐνιαυσίας πέντε· τȣ̃το τὸ δῶρον
Ἐλισȣ̀ρ, υἱȣ̃ Σεδιȣ̀ρ.
36 Τῇ ἡμέρᾳ τῇ πέμπτῃ, ἄρχων τῶν υἱῶν Συμεὼν,
Σαλαμιὴλ υἱὸς Σȣρισαδαΐ· 37 τὸ δῶρον αὐτȣ̃ τρύ-
βλιον ἀργυρȣ̃ν ἓν, τριάκοντα καὶ ἑκατὸν ὁλκὴ

αὐτȣ̃·

αὐτῦ· φιάλην μίαν ἀργυρᾶν, ἑβδομήκοντα σί-
κλων, κατὰ τὸν σίκλον τὸν ἅγιον· ἀμφότερα
πλήρη σεμιδάλεως, ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς
θυσίαν· 38 θυΐσκην μίαν δέκα χρυσῶν πλήρη θυ-
μιάματος· 39 μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα,
ἀμνὸν ἕνα ἐνιαύσιον εἰς ὁλοκαύτωμα· 40 καὶ χί-
μαῤῥον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας, 41 καὶ εἰς
θυσίαν σωτηρίυ· δαμάλεις δύο· κριὺς πέντε· τρά-
γυς πέντε, ἀμνάδας ἐνιαυσίας πέντε· τῦτο τὸ
δῶρον Σαλαμιὴλ υἱῦ Συρισαδαΐ·
42 Τῇ ἡμέρᾳ τῇ ἕκτῃ, ἄρχων τῶν υἱῶν Γὰδ' Ἐλι-
σὰφ' υἱὸς Ῥαγυήλ· 43 τὸ δῶρον αὐτῦ, τρύβλιον
ἀργυρῦν ἕν· τριάκοντα καὶ ἑκατὸν ὁλκὴ αὐτῦ·
φιάλην μίαν ἀργυρᾶν, ἑβδομήκοντα σίκλων,
κατὰ τὸν σίκλον τὸν ἅγιον, ἀμφότερα πλήρη
σεμιδάλεως, ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς θυ-
σίαν· 44 θυΐσκην μίαν δέκα χρυσῶν, πλήρη θυ-
μιάματος· 45 μόσχον ἕνα ἐκ βοῶν· κριὸν ἕνα·
*117 * ἀμνὸν ἕνα ἐνιαύσιον εἰς ὁλοκαύτωμα· 46 καὶ
χίμαῤῥον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας· 47 καὶ
εἰς θυσίαν σωτηρίυ· δαμάλεις δύο· κριὺς πέντε·
τράγυς πέντε· ἀμνάδας ἐνιαυσίας πέντε· τῦτο
τὸ δῶρον Ἐλισὰφ' υἱῦ Ῥαγυήλ·
48 Τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, ἄρχων τῶν υἱῶν Ἐφραὶμ·
Ἐλισαμὰ υἱὸς Ἐμιὺδ' 49 τὸ δῶρον αὐτῦ, τρύ-
βλιον ἀργυρῦν ἕν· τριάκοντα καὶ ἑκατὸν ὁλκὴ
αὐτῦ· φιάλην μίαν ἀργυρᾶν, ἑβδομήκοντα σί-
κλων κατὰ τὸν σίκλον τὸν ἅγιον· ἀμφότερα
πλήρη σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς
θυσίαν· 50 θυΐσκην μίαν δέκα χρυσῶν, πλήρη
θυμιάματος· 51 μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα·
ἀμνὸν ἕνα ἐνιαύσιον εἰς ὁλοκαύτωμα· 52 καὶ
χίμαῤῥον

χίμαῤῥον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας· 53 καὶ
εἰς θυσίαν σωτηρίου· δαμάλεις δύο· κριοὺς πέν-
τε· τράγους πέντε· ἀμνάδας ἐνιαυσίας πέντε·
τοῦτο τὸ δῶρον Ἐλισαμὰ, υἱοῦ Ἐμιοὺδ·

54 Τῇ ἡμέρᾳ τῇ ὀγδόῃ, ἄρχων τῶν υἱῶν Μανασσῆ,
Γαμαλιὴλ υἱὸς Φαδασσοὺρ· 55 τὸ δῶρον αὐτοῦ,
τρύβλιον ἀργυροῦν ἕν· τριάκοντα καὶ ἑκατὸν ὁλ-
κὴ αὐτοῦ· φιάλην μίαν ἀργυρᾶν· ἑβδομήκοντα
σίκλων· κατὰ τὸν σίκλον τὸν ἅγιον, ἀμφότερα
πλήρη σεμιδάλεως, ἀναπεποιημένης ἐν ἐλαίῳ
εἰς θυσίαν. 56 θυΐσκην μίαν δέκα χρυσῶν πλήρη
θυμιάματος, 57 μόσχον ἕνα ἐκ βοῶν· κριὸν ἕνα·
ἀμνὸν ἕνα ἐνιαύσιον εἰς ὁλοκαύτωμα· 58 καὶ χί-
μαῤῥον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας· 59 καὶ εἰς
θυσίαν σωτηρίου· δαμάλεις δύο· κριοὺς πέντε· τρά-
γους πέντε· ἀμνάδας ἐνιαυσίας πέτε· τοῦτο τὸ
δῶρον Γαμαλιὴλ υἱοῦ Φαδασσοὺρ·

60 Τῇ ἡμέρᾳ τῇ ἐνάτῃ, ἄρχων τῶν υἱῶν Βενιαμεὶμ
Ἀμιδὰν, υἱὸς Γαδεωνί· 61 τὸ δῶρον αὐτοῦ τρύ-
βλιον ἀργυροῦν ἕν· τριάκοντα καὶ ἑκατὸν ὁλκὴ
αὐτοῦ, * φιάλην μίαν ἀργυρᾶν· ἑβδομήκοντα* 118
σίκλων, κατὰ τὸν σίκλον τὸν ἅγιον· ἀμφότερα
πλήρη σεμιδάλεως, ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς
θυσίαν· 62 θυΐσκην μίαν δέκα χρυσῶν, πλήρη
θυμιάματος· 63 μόσχον ἕνα ἐκ βοῶν· κριὸν ἕνα,
ἀμνὸν ἕνα ἐνιαύσιον εἰς ὁλοκαύτωμα· 64 καὶ χί-
μαῤῥον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας, 65 καὶ εἰς
θυσίαν σωτηρίου· δαμάλεις δύο· κριοὺς πέντε· τρά-
γους πέντε· ἀμνάδας ἐνιαυσίας πέντε· τοῦτο τὸ
δῶρον Ἀμιδὰν, υἱοῦ Γαδεωνί·

66 Τῇ ἡμέρᾳ τῇ δεκάτῃ, ἄρχων τῶν υἱῶν Δάν,
Ἀχιέζερ υἱὸς Ἀμισαδαΐ· 67 τὸ δῶρον αὐτοῦ,
τρύ-

τρύβλιον ἀργυροῦν ἕν· τριάκοντα καὶ ἑκατὸν ὁλ-
κὴ αὐτοῦ· φιάλην μίαν ἀργυρᾶν· ἑβδομήκοντα
σίκλων, κατὰ τὸν σίκλον τὸν ἅγιον· ἀμφότερα
πλήρη σεμιδάλεως, ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς
θυσίαν· 68 θυΐσκην μίαν δέκα χρυσῶν, πλήρη
θυμιάματος 69 μόσχον ἕνα ἐκ βοῶν· κριὸν ἕνα·
ἀμνὸν ἕνα ἐνιαύσιον εἰς ὁλοκαύτωμα· 70 καὶ χί-
μαῤῥον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας· 71 καὶ εἰς
θυσίαν σωτηρίου· δαμάλεις δύο· κριοὺς πέντε·
τράγους πέντε· ἀμνάδας ἐνιαυσίας πέντε· τοῦτο
τὸ δῶρον Ἀχιέζερ υἱοῦ Ἀμισαδαΐ.
72 Τῇ ἡμέρᾳ τῇ ἑνδεκάτῃ, ἄρχων τῶν υἱῶν Ἀσήρ,
Φαγαιήλ υἱὸς Ἐχράν· 73 τὸ δῶρον αὐτοῦ, τρύ-
βλιον ἀργυροῦν ἕν· τριάκοντα καὶ ἑκατὸν ὁλκὴ
αὐτοῦ· φιάλην μίαν ἀργυρᾶν· ἑβδομήκοντα σί-
κλων κατὰ τὸν σίκλον τὸν ἅγιον· ἀμφότερα
πλήρη σεμιδάλεως, ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς
θυσίαν· 74 θυΐσκην μίαν δέκα χρυσῶν, πλήρη
θυμιάματος· 75 μόσχον ἕνα ἐκ βοῶν· κριὸν ἕνα·
ἀμνὸν ἕνα ἐνιαύσιον εἰς ὁλοκαύτωμα· 76 καὶ χί-
μαῤῥον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας· 77 καὶ εἰς
θυσίαν σωτηρίου· δαμάλεις δύο· κριοὺς πέντε·
*119 * τράγους πέντε· ἀμνάδας ἐνιαυσίας πέντε· τοῦτο
τὸ δῶρον Φαγαιὴλ υἱοῦ Ἐχράμ.
78 Τῇ ἡμέρᾳ τῇ δωδεκάτῃ, ἄρχων τῶν υἱῶν Νεφθα-
λὶ, Ἀχιρὲ υἱὸς Αἰνάν· 79 τὸ δῶρον αὐτοῦ, τρύβλιον
ἀργυροῦν ἕν· τριάκοντα καὶ ἑκατὸν ὁλκὴ αὐτοῦ·
φιάλην μίαν ἀργυρᾶν· ἑβδομήκοντα σίκλων κα-
τὰ τὸν σίκλον τὸν ἅγιον· ἀμφότερα πλήρη σε-
μιδάλεως, ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς θυσίαν·
80 θυΐσκην μίαν δέκα χρυσῶν, πλήρη θυμιάμα-
τος· 81 μόσχον ἕνα ἐκ βοῶν· κριὸν ἕνα, ἀμνὸν
ἕνα

ἕνα ἐνιαύσιον εἰς ὁλοκαύτωμα· [82] καὶ χίμαῤῥον
ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας, [83] καὶ εἰς θυσίαν
σωτηρίου· δαμάλεις δύο· κριοὺς πέντε· τράγους
πέντε· ἀμνάδας ἐνιαυσίας πέντε· τοῦτο τὸ δῶρον
Ἀχιρὲ, υἱοῦ Αἰνάν·
[84] Οὗτος ὁ ἐγκαινισμὸς τοῦ θυσιαστηρίου, ᾗ ἡμέρᾳ
ἔχρισεν αὐτὸ, παρὰ τῶν ἀρχόντων τῶν υἱῶν
Ἰσραὴλ, τρύβλια ἀργυρᾶ δώδεκα· θυΐσκαι χρυ-
σαῖ δώδεκα· [85] τριάκοντα καὶ ἑκατὸν σίκλων τὸ
τρύβλιον τὸ ἕν· καὶ ἑβδομήκοντα σίκλων ἡ φιά-
λη ἡ μία· πᾶν τὸ ἀργύριον τῶν σκευῶν, δισχί-
λιοι καὶ τετρακόσιοι σίκλοι, ἐν τῷ σίκλῳ τῷ
ἁγίῳ· [86] θυΐσκαι χρυσαῖ δώδεκα πλήρεις θυμιά-
ματος· δέκα χρυσῶν ἡ θυΐσκη, ἐν τῷ σίκλῳ τῷ
ἁγίῳ· πᾶν τὸ χρυσίον τῶν θυϊσκῶν, εἴκοσι καὶ
ἑκατὸν χρυσοῖ· [87] πᾶσαι αἱ βόες εἰς ὁλοκαύτω-
σιν· μόσχοι δώδεκα· κριοὶ δώδεκα· ἀμνοὶ ἐνιαύ-
σιοι δώδεκα· αἱ θυσίαι αὐτῶν, καὶ αἱ σπονδαὶ
αὐτῶν· καὶ χίμαῤῥοι ἐξ αἰγῶν δώδεκα περὶ ἁμαρ-
τίας· [88] πᾶσαι αἱ βόες εἰς θυσίαν σωτηρίου· δα-
μάλεις εἴκοσι τέσσαρες· κριοὶ ἑξήκοντα, τράγοι
ἑξήκοντα, ἀμνάδες ἑξήκοντα ἐνιαύσιαι ἄμωμοι·
Αὕτη ἡ ἐγκαίνισις τοῦ θυσιαστηρίου, μετὰ τὸ πλη-
ρῶσαι τὰς χεῖρας αὐτοῦ u), καὶ μετὰ τὸ χρῖσαι
αὐτὸν [89] ἐν τῷ εἰσπορεύεσθαι Μωϋσῆν εἰς τὴν
σκηνὴν τοῦ μαρτυρίου, * λαλῆσαι αὐτῷ· καὶ ἤκου- *120
σεν τὴν φωνὴν κυρίου λαλοῦντος πρὸς αὐτὸν, ἄνω-
θεν τοῦ ἱλαστηρίου, ὅ ἐστιν ἐπὶ τῆς κιβωτοῦ τοῦ
μαρτυ-

u) τοῦ Ἀαρὼν περὶ γὰρ αὐτοῦ μέλλει διαλέγεσθαι τῷ Μωϋσῇ
ὁ Θεός.

μαρτυρίου, ἀνὰ μέσον τῶν δύο Χερουβεὶμ· καὶ
ἐλάλει πρὸς αὐτόν·
ΙΗ VIII. [1] Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν λέγων·
[2] λάλησον τῷ Ἀαρὼν καὶ ἐρεῖς πρὸς αὐτόν· ὅταν
ἐπιτιθῇς τοὺς λύχνους, ἐκ μέρους κατὰ πρόσωπον
τῆς λυχνίας, φωτιοῦσιν οἱ ἑπτὰ λύχνοι· [3] καὶ
ἐποίησεν οὕτως Ἀαρὼν ἐκ τοῦ ἑνὸς μέρους, κατὰ
πρόσωπον τῆς λυχνίας, ἐξῆψεν τοὺς λύχνους
αὐτῆς καθὰ συνέταξεν κύριος τῷ Μωϋσῇ·
[4] Καὶ αὕτη ἡ κατασκευὴ τῆς λυχνίας, στερεὰ χρυσῆ ὁ
καυλὸς αὐτῆς, καὶ τὰ κρίνα αὐτῆς στερεὰ ὅλη, κα-
τὰ τὸ εἶδος ὃ ἔδειξεν κύριος τῷ Μωϋσῇ, οὕτως ἐποίη-
σεν τὴν λυχνίαν· [5] καὶ ἐλάλησεν κύριος πρὸς
ΙΘ Μωϋσῆν λέγων· [6] λάβετε τοὺς Λευίτας ἐκ μέσου τῶν
υἱῶν Ἰσραὴλ καὶ ἀφαγνιεῖς αὐτούς, [7] καὶ οὕτως
ποιήσεις αὐτοῖς· τὸν ἁγνισμὸν αὐτῶν, περιρα-
νεῖς αὐτοὺς ὕδωρ ἁγνισμοῦ· καὶ ἐπελεύσεται ξυ-
ρὸν ἐπὶ πᾶν τὸ σῶμα αὐτῶν, καὶ πλυνοῦσιν τὰ
ἱμάτια αὐτῶν καὶ καθαροὶ ἔσονται· [8] καὶ λή-
ψονται μόσχον ἕνα ἐκ βοῶν, καὶ τούτου θυσίαν,
σεμίδαλιν ἀναπεποιημένην ἐν ἐλαίῳ, καὶ μό-
σχον ἐνιαύσιον ἐκ βοῶν, λήψῃ περὶ ἁμαρτίας·
[9] καὶ προσάξεις τοὺς Λευίτας ἔναντι τῆς σκη-
νῆς τοῦ μαρτυρίου, καὶ συνάξεις πᾶσαν συναγω-
γὴν υἱῶν Ἰσραήλ, [10] καὶ προσάξεις τοὺς Λευίτας
ἔναντι κυρίου: καὶ ἐπιθήσουσιν οἱ υἱοὶ Ἰσραὴλ τὰς
χεῖρας αὐτῶν, ἐπὶ τοὺς Λευίτας· [11] καὶ ἀφοριεῖ
Ἀαρὼν τοὺς Λευίτας ἀπόδομα ἔναντι κυρίου παρὰ
τῶν υἱῶν Ἰσραήλ· καὶ ἔσονται ὥστε ἐργάζεσθαι
τὰ ἔργα κυρίου· [12] οἱ δὲ Λευῖται, ἐπιθήσουσιν τὰς
χεῖρας ἐπὶ τὰς κεφαλὰς τῶν μόσχων· καὶ ποιή-
*121 σει τὸν ἕνα περὶ ἁμαρτίας, καὶ τὸν ἕνα εἰς *

ὁλοκαύ-

ὁλοκαύτωμα κυρίῳ, ἐξιλάσασθαι περὶ αὐτῶν·
13 καὶ στήσεις τοὺς Λευΐτας ἔναντι κυρίου, καὶ ἔναν-
τι Ἀαρὼν, καὶ ἔναντι τῶν υἱῶν αὐτοῦ, καὶ ἀπο-
δώσεις αὐτοὺς ἀπόδομα ἔναντι κυρίου· 14 καὶ δια-
στελεῖς τοὺς Λευΐτας, ἐκ μέσου τῶν υἱῶν Ἰσραὴλ,
καὶ ἔσονται ἐμοί· 15 καὶ μετὰ ταῦτα εἰσελεύ-
σονται οἱ Λευῖται ἐργάζεσθαι τὰ ἔργα τῆς σκη-
νῆς τοῦ μαρτυρίου· καὶ καθαριεῖς αὐτοὺς, καὶ ἀπο-
δώσεις αὐτοὺς ἔναντι κυρίου, 16 ὅτι ἀπόδομα ἀπο-
δεδομένον, οὗτοι μοί εἰσιν ἐκ μέσου υἱῶν Ἰσραὴλ,
ἀντὶ τῶν διανοιγόντων πᾶσαν μήτραν πρωτοτό-
κων, πάντων ἐκ τῶν υἱῶν Ἰσραὴλ, εἴληφα αὐ-
τοὺς ἐμοὶ, 17 ὅτι ἐμοὶ πᾶν πρωτότοκον ἐν υἱοῖς
Ἰσραὴλ, ἀπὸ ἀνθρώπου ἕως κτήνους, ᾗ ἡμέρᾳ
ἐπάταξα πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ, ἡγία-
σα αὐτοὺς ἐμοὶ, 18 καὶ ἔλαβον τοὺς Λευΐτας ἀντὶ
παντὸς πρωτοκόκου ἐν υἱοῖς Ἰσραήλ· 19 καὶ ἀπέ-
δωκα τοὺς Λευΐτας ἀπόδομα δεδομένους Ἀαρὼν
καὶ τοῖς υἱοῖς αὐτοῦ ἐκ μέσου υἱῶν Ἰσραὴλ, ἐρ-
γάζεσθαι τὰ ἔργα τῶν υἱῶν Ἰσραὴλ, ἐν τῇ σκη-
νῇ τοῦ μαρτυρίου, καὶ ἐξιλάσκεσθαι περὶ τῶν υἱῶν
Ἰσραὴλ, καὶ οὐκ ἔσται ἐν τοῖς υἱοῖς Ἰσραὴλ προσ-
εγγίζων τῶν υἱῶν Ἰσραὴλ πρὸς τὰ ἅγια· 20 καὶ
ἐποίησεν Μωϋσῆς καὶ Ἀαρὼν, καὶ πᾶσα συνα-
γωγὴ υἱῶν Ἰσραὴλ τοῖς Λευΐταις, καθὰ ἐνετεί-
λατο κύριος τῷ Μωϋσῇ περὶ τῶν Λευϊτῶν, οὕτως
ἐποίησαν αὐτοῖς οἱ υἱοὶ Ἰσραήλ· 21 καὶ ἡγνίσαν-
το οἱ Λευῖται, καὶ ἐπλύναντο τὰ ἱμάτια αὐτῶν,
καὶ ἀπέδωκεν αὐτοὺς Ἀαρὼν ἀπόδομα ἔναντι κυ-
ρίου· καὶ ἐξιλάσατο περὶ αὐτῶν Ἀαρὼν ἀφα-
γνίσαι αὐτούς· 22 καὶ μετὰ ταῦτα εἰσῆλθοσαν οἱ
Λευῖται λειτουργεῖν τὴν λειτουργίαν αὐτῶν, ἐν τῇ

σκηνῇ τοῦ μαρτυρίου ἔναντι Ἀαρὼν, καὶ ἔναντι
τῶν υἱῶν αὐτοῦ, καθὰ συνέταξεν κύριος τῷ Μωΰ-
σῇ περὶ τῶν Λευϊτῶν, οὕτως ἐποίησαν αὐτοῖς·
*122* [23] Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν λέγων· [24] τοῦ-
το ἐστὶν τὸ περὶ τῶν Λευϊτῶν, ἀπὸ πέντε καὶ εἰ-
κοσαετοῦς καὶ ἐπάνω εἰσελεύσονται λειτουργεῖν x)
λειτουργίαν ἐν ἔργοις ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου·
[25] καὶ ἀπὸ πεντηκονταετοῦς ἀποστήσεται ἀπὸ τῆς
λειτουργίας, καὶ οὐχὶ ἐργᾶται ἔτι· [26] καὶ λει-
τουργήσει ὁ ἀδελφὸς y) αὐτοῦ ἐν τῇ σκηνῇ τοῦ
μαρτυρίου, φυλάσσειν z) τὰς φυλακὰς, ἔργα
δὲ οὐκ ἐργᾶται, οὕτως ποιήσεις τοῖς Λευΐταις ἐν
ταῖς φυλακαῖς αὐτῶν·
VIIII. [1] Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν ἐν τῇ ἐρή-
μῳ Σινὰ, ἐν τῷ ἔτει τῷ δευτέρῳ ἐξελθόντων
αὐτῶν ἐκ γῆς Αἰγύπτου, ἐν τῷ μηνὶ τῷ πρώτῳ
λέγων· [2] εἶπον, καὶ ποιείτωσαν οἱ υἱοὶ Ἰσραὴλ
τὸ πάσχα καθ᾽ ὥραν αὐτοῦ· [3] τῇ τεσσαρεσκαι-
δεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ πρώτου πρὸς ἑσπέ-
ραν ποιήσετε αὐτὸ, κατὰ καιρὸν αὐτοῦ, κατὰ
τὸν νόμον αὐτοῦ, καὶ κατὰ τὴν σύγκρισιν αὐ-
τοῦ ποιήσεις αὐτό·
ΙΒ [4] Καὶ ἐλάλησεν Μωϋσῆς τοῖς υἱοῖς Ἰσραὴλ, ποιῆσαι
τὸ πάσχα [5] ἐναρχομένου τῇ τεσσαρεσκαιδεκάτῃ
ἡμέρᾳ

ΙΒ ΠΕΡΙ ΤΟΥ ΠΑΣΧΑ.

x) ΑΚ. τοῦ στρατεύεσθαι στρατείαν δουλείας. ΣΥ. παρίστασθαι παράστασιν εἰς λατρείαν.

y) ΑΚ. συναδελφοῖς. ΣΥ. τοῖς ἀδελφοῖς. ΘΕ. μετὰ τῶν ἀδελφῶν.

z) ΣΗΜΕΙΟΝ ΟΥΝ ὅτι παυόμενος τοῦ ἐργάζεσθαι τὰ ἔργα ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου μετὰ τὰ ν̄ ἔτη συνήρχειν τῆς φυλακῆς· σύναψον δὲ ὅλην φράσιν καὶ δῆλος ἐστιν ὁ νοῦς τοῦ ῥητοῦ, διὰ μέσου γάρ ἐστιν τὸ καὶ λειτουργήσει ὁ ἀδελφὸς αὐτοῦ, ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου.

ἡμέρᾳ τοῦ μηνὸς ἐν τῇ ἐρήμῳ τοῦ Σινὰ καθὰ συν-
έταξεν κύριος τῷ Μωϋσῇ, οὕτως ἐποίησαν υἱοὶ
Ἰσραήλ· 6 καὶ παρεγένοντο οἱ ἄνδρες οἳ ἦσαν
ἀκάθαρτοι ἐπὶ ψυχῇ ἀνθρώπου, καὶ οὐκ ἠδύναν-
το ποιῆσαι τὸ πάσχα ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· καὶ
προσῆλθον ἐναντίον Μωϋσῆ καὶ Ἀαρὼν ἐν ἐκείνῃ
τῇ ἡμέρᾳ· 7 καὶ εἶπαν οἱ ἄνδρες ἐκεῖνοι πρὸς
αὐτούς· ἡμεῖς ἀκάθαρτοι ἐπὶ ψυχῇ ἀνθρώ-
που· μὴ οὖν ὑστερήσωμεν ὥστε προσενέγκαι τὸ
δῶρον κυρίῳ κατὰ καιρὸν αὐτοῦ ἐν μέ-
σῳ υἱῶν Ἰσραήλ· 8 καὶ εἶπεν πρὸς αὐτοὺς
Μωϋσῆς· στῆτε αὐτοῦ, καὶ ἀκούσομαι τί ἐντελεῖται
κύριος περὶ ὑμῶν· 9 καὶ ἐλάλησεν κύριος πρὸς
Μωϋσῆν λέγων· 10 λάλησον τοῖς υἱοῖς Ἰσραὴλ
λέγων· * ἄνθρωπος ἄνθρωπος, ὃς ἂν γένηται *123
ἀκάθαρτος ἐπὶ ψυχῇ ἀνθρώπου, ἢ ἐν ὁδῷ μα-
κρὰν, ἢ ἐν ὑμῖν, ἢ ἐν ταῖς γενεαῖς ὑμῶν, καὶ
ποιήσει τὸ πάσχα τῷ κυρίῳ 11 ἐν τῷ μηνὶ τῷ
δευτέρῳ ἐν τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τὸ πρὸς
ἑσπέραν, ποιήσουσιν αὐτὸ, ἐπ' ἀζύμων καὶ πι-
κρίδων φάγονται αὐτό· 12 οὐ καταλείψουσιν ἀπ'
αὐτοῦ εἰς τὸ πρωῒ, καὶ ὀστοῦν οὐ συντρίψουσιν ἀπ'
αὐτοῦ· κατὰ τὸν νόμον τοῦ πάσχα ποιήσουσιν
αὐτό· 13 καὶ ἄνθρωπος, ὃς ἂν καθαρὸς ᾖ, καὶ
ἐν ὁδῷ μακρὰν οὐκ ἔστιν, καὶ ὑστερήσῃ ποιῆσαι
τὸ πάσχα, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκεί-
νη ἐκ τοῦ λαοῦ αὐτῆς, ὅτι τὸ δῶρον κυρίῳ, οὐ
προσήνεγκεν κατὰ τὸν καιρὸν αὐτοῦ· ἁμαρ-
τίαν αὐτοῦ λήψεται ὁ ἄνθρωπος ἐκεῖ-
νος· 14 ἐὰν δὲ προσέλθῃ πρὸς ὑμᾶς προσ
ήλυτος ἐν τῇ γῇ ὑμῶν, καὶ ποιήσῃ τὸ πάσχα κυ-
ρίῳ κατὰ τὸν νόμον τοῦ πάσχα, καὶ κατὰ τὴν

σύνταξιν αὐτοῦ, οὕτως ποιήσει αὐτό· νόμος εἷς
ἔςαι ὑμῖν, καὶ τῷ προσηλύτῳ, καὶ τῷ αὐ-
ΚΑ τόχθονι τῆς γῆς·
ΙΓ 15 Καὶ τῇ ἡμέρᾳ ᾗ ἐςάθη ἡ σκηνὴ, ἐκάλυψεν ἡ νε-
φέλη τὴν σκηνὴν τὸν οἶκον τοῦ μαρτυρίου· καὶ τὸ
ἑσπέρας ἦν ἐπὶ τῆς σκηνῆς, ὡς εἶδος πυρὸς ἕως
πρωΐ. 16 οὕτως ἐγίνετο διὰ παντὸς, ἡ νεφέλη ἐκά-
λυψεν αὐτὴν ἡμέρας, καὶ εἶδος πυρὸς τὴν νύ-
κτα· 17 καὶ ἡνίκα ἀνέβαινεν ἡ νεφέλη ἀπὸ τῆς
σκηνῆς·
Καὶ μετὰ ταῦτα ἀπῆρον οἱ υἱοὶ Ἰσραὴλ, καὶ ἐν
τῷ τόπῳ οὗ ἂν ἔςη ἡ νεφέλη, ἐκεῖ παρενέβαλ-
λον οἱ υἱοὶ Ἰσραὴλ, 18 διὰ προστάγματος κυρίου
παρεμβαλοῦσιν οἱ υἱοὶ Ἰσραὴλ, καὶ διὰ προσ-
τάγματος κυρίου ἀπαροῦσιν, πάσας τὰς ἡμέρας
ἐν αἷς σκιάζει ἡ νεφέλη ἐπὶ τῆς σκηνῆς, παρεμ-
βαλοῦσιν οἱ υἱοὶ Ἰσραήλ· καὶ 19 ὅτ' ἂν a)
ἐφέλκηται ἡ νεφέλη ἐπὶ τῆς σκηνῆς ἡμέρας πλείους,
καὶ φυλάξονται οἱ υἱοὶ Ἰσραὴλ τὴν φυλακὴν τοῦ
θεοῦ, καὶ οὐ μὴ ἐξάρωσιν· 20 καὶ ἔςαι ὅτ' ἂν σκε-
*124 πάσῃ ἡ νεφέλη ἡμέρας ἀριθμῷ ἐπὶ * τῆς σκη-
νῆς διὰ φωνῆς κυρίου παρεμβαλοῦσιν, καὶ διὰ
προστάγματός κυρίου ἐξαροῦσιν· 21 καὶ ἔςαι ὅτ' ἂν
γένηται ἡ νεφέλη ἀφ' ἑσπέρου ἕως πρωῒ, καὶ
ἐὰν ἀναβῇ ἡ νεφέλη τὸ πρωῒ, καὶ ἀπαροῦσιν
ἡμέρας ἢ νυκτὸς, b) καὶ ἀναβῇ ἡ νεφέλη, ἀπα-
ροῦσιν

ΙΓ ΠΕΡΙ ΤΗϹ ΟΔΟΙΠΟΡΙΑϹ ΙΗΛ ΠΟΤΕ ΩΔΕΥΟΝ Η ΠΩϹ.

a) τουτέςιν παρατείνηται ἱςαμένη ὅπερ φησιν παρακατιων, πλεο-
ναζούσης τῆς νεφέλης ἐπὶ τῆς σκηνῆς.

b) ἡ σύνταξις τοῦ ῥητοῦ, οὕτως ἐςιν, ἡ καὶ νυκτὸς, ἐὰν ἀνα-
βῇ ἡ νεφέλη ἀπαροῦσιν ἡμέρας· ὃ δὲ λέγει τοιοῦτον ἐςιν, εἴτε
ἀπὸ

ροῦσιν ἡμέρας, ἢ [22] μηνὸς· ἡμέρας πλεοναζούσης
τῆς νεφέλης σκιαζούσης ἐπ' αὐτῆς, παρεμβαλοῦ-
σιν οἱ υἱοὶ Ἰσραὴλ, καὶ οὐ μὴ ἀπάρωσιν, [23] ὅτι
διὰ προστάγματος κυρίου ἀπαροῦσιν, τὴν φυλακὴν
κυρίου ἐφύλαξαν διὰ προστάγματος κυρίου ἐν χειρὶ
Μωϋσῇ· X. [1] καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν ΙΔ
λέγων· [2] ποίησον σὲ αὐτῷ δύο σάλπιγγας ἀργυρᾶς, ΚΒ
ἐλατὰς ποιήσεις αὐτάς· καὶ ἔσονταί σοι ἀνα-
καλεῖν τὴν συναγωγὴν, καὶ ἐξαίρειν τὰς παρεμ-
βολάς· [3] καὶ σαλπιεῖς ἐν αὐταῖς, καὶ συναχθή-
σεται πᾶσα ἡ συναγωγὴ, ἐπὶ τὴν θύραν τῆς
σκηνῆς τοῦ μαρτυρίου· [4] ἐὰν δὲ ἐν μιᾷ σαλπί-
σωσιν, προσελεύσονται πρὸς σὲ πάντες οἱ ἄρχον-
τες ἀρχηγοὶ c) Ἰσραὴλ, [5] καὶ σαλπιεῖτε σημα-
σίαν d), καὶ ἐξαροῦσιν αἱ παρεμβολαὶ, αἱ παρ-
εμβάλλουσαι ἀνατολάς· [6] καὶ σαλπιεῖτε σημα-
σίαν δευτέραν, καὶ ἐξαροῦσιν αἱ παρεμβολαὶ αἱ
παρεμ-



ἀπὸ ἑσπέρας ἀναβῇ ἡ νεφέλη, εἴτε πρωῒ, εἴτε νυκτι, ἡμέρας απαροῦσιν, καὶ οὐκ εννυκτὶ ενάρξωνται τῆς πορίας, καὶ μῆνα δὲ ἡμερῶν σκιαζούσης τῆς νεφέλης, καὶ ἐν τόπῳ ἱσταμένης καὶ μὴ πορευομένης, ὑπομενουσιν οἱ υἱοὶ Ἰσραὴλ τὴν παρολκὴν, καὶ οὐκ εξαροῦσιν· ἀνάβασιν δὲ τῆς νεφέλης τὴν πορίαν καλεῖ καὶ ἐπι τὴν επιτοπρόσω, πρόοδον δοκεῖ δέ μοι τοῦτο εμφαίνειν ἐναργῶς τὸ ῥητὸν, ὅτι ἡνίκα ἠβούλετο αὐτοὺς ὁ θεὸς ἀπαίρειν, ἀπὸ ἑσπέρας ἢ καὶ νύκτωρ, διεδέχετο ἡ νεφέλη τὸν στύλον τοῦ πυρὸς, εἰς τὸ πρόσω, πορέυεσθαι ἀρχομένη καὶ προοδοποιεῖν ὥσπερ τῷ Ἰσραὴλ, καὶ ἐκ τούτου δηλοῦν· Ὅτι ἐν ἡμέρᾳ δεῖ αὐτοὺς ἐνάρχεσθαι τῆς πορίας ἐντεῦθεν ἤδη προανακρουομένου τοῦ θεοῦ, ὅτι χρονοτριβεῖν αὐτοὺς ἐν τῇ ἐρήμῳ βούλεται, διὰ τὴν μέλλουσαν ἔσεσθαι κατ' αὐτῶν ἀπειλήν· ἐν τοῖς ἐφεξῆς ἐξουδενωσάντων τὴν γῆν τῆς ἐπαγγελείας καὶ στραφέντων εἰς Αἴγυπτον.

ΙΔ ΠΕΡΙ ΣΑΛΠΙΓΓΩΝ.

c) χιλίαρχοι. d) ΑΚ. ἀλαλαγμόν.

παρεμβάλλȣσαι νότον e)· καὶ σαλπιεῖτε ση-
μασίαν τρίτην, καὶ ἐξαρȣ̃σιν αἱ παρεμβολαὶ αἱ
παρεμβάλλȣσαι παρὰ θάλασσαν, καὶ σαλπιεῖ-
τε σημασίαν τετάρτην, καὶ ἐξαρȣ̃σιν αἱ παρεμβο-
λαὶ αἱ παρεμβάλλȣσαι βοῤῥᾶν· σημασίᾳ σαλ-
πιȣ̃σιν ἐν τῇ ἐξάρσει αὐτῶν. 7 καὶ ὅταν συναγάγητε
τὴν συναγωγὴν, σαλπιεῖτε, καὶ ȣ̓ σημασίᾳ· 8 καὶ
οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς, σαλπιȣ̃σιν ταῖς σάλ-
πιγξιν, καὶ ἔςαι ὑμῖν νόμιμον αἰώνιον εἰς τὰς
γενεὰς ὑμῶν· 9 ἐὰν δὲ ἐξέλθητε εἰς πόλεμον
ἐν τῇ γῇ ὑμῶν, πρὸς τȣ̀ς ὑπεναντίȣς τȣ̀ς ἀνθε-
ςηκότας ὑμῖν, καὶ σαλπιεῖτε ἐν ταῖς σάλ-
*125 πιγξιν, καὶ ἀναμνήσεσθε ἔναντι κυρίȣ, καὶ * δια-
σωθήσεσθε ἀπὸ τῶν ἐχθρῶν ὑμῶν· 10 καὶ ἐν ταῖς
ἡμέραις τῆς εὐφροσύνης ὑμῶν, καὶ ἐν ταῖς ἑορ-
ταῖς ὑμῶν, καὶ ἐν ταῖς νȣμηνίαις ὑμῶν, σαλ-
πιεῖτε ταῖς σάλπιγξιν ἐπὶ τοῖς ὁλοκαυτώμα-
σιν f), καὶ ἐπὶ ταῖς θυσίαις τῶν σωτηρίων
ὑμῶν· καὶ ἔςαι ὑμῖν ἀνάμνησις ἐναντίον τȣ̃ θεȣ̃
ΙΕ ὑμῶν, ἐγὼ κύριος ὁ θεὸς ὑμῶν·
ΚΓ 11 Καὶ ἐγένετο ἐν τῷ ἐνιαυτῷ τῷ δευτέρῳ ἐν τῷ
μηνὶ τῷ δευτέρῳ, εἰκάδι τȣ̃ μηνὸς, ἀνέβη ἡ νε-
φέλη ἀπὸ τῆς σκηνῆς τȣ̃ μαρτυρίȣ 12 καὶ ἐξῆ-
ραν οἱ υἱοὶ Ἰσραὴλ, συναπαρτίαις αὐτῶν ἐν τῇ
ἐρήμῳ τȣ̃ Σινά· καὶ ἔςη ἡ νεφέλη ἐν τῇ ἐρήμῳ
τȣ̃

ΙΕ ΟΔΟΙΠΟΡΙΑ ΤΟΥ ΙΗΛ ΠΡΩΤΗ CΥΝ ΤΗ CΚΗΝΗ ΑΠΟ ΟΡΟΥC CΙΝΑ.

e) λίβα.

f) ὥςε περιττὴ νῦν τοῖς ἰȣδαίοις τῶν σαλπίγγων ἡ χρῆσις τῶν ὁλοκαυτωμάτων καὶ τῶν θυσιῶν περιῃρημένων.

τοῦ Φαράν· 13 καὶ ἐξῆραν πρῶτοι διὰ φωνῆς κυ-
ρίου ἐν χειρὶ Μωϋσῆ· 14 καὶ ἐξῆραν τάγμα παρεμ-
βολῆς υἱῶν Ἰούδα πρῶτοι, συν δυνάμει αὐτῶν·
καὶ ἐπὶ τῆς δυνάμεως αὐτῶν Ναασσὼν υἱὸς
Ἀμειναδὰβ, 15 καὶ ἐπὶ τῆς δυνάμεως φυλῆς υἱῶν
Ἰσσάχαρ, Ναθαναὴλ υἱὸς Σωγάρ, 16 καὶ ἐπὶ
τῆς δυνάμεως φυλῆς υἱῶν Ζαβουλῶν, Ἐλιὰβ
υἱὸς Χαιλών· 17 καὶ καθελοῦσιν τὴν σκηνὴν καὶ
ἐξαροῦσιν οἱ υἱοὶ Γεδσὼν, καὶ υἱοὶ Μεραρὶ αἴρον-
τες τὴν σκηνήν· 18 καὶ ἐξῆραν τάγμα παρεμ-
βολῆς Ῥουβὴν, συν δυνάμει αὐτῶν· καὶ ἐπὶ τῆς
δυνάμεως αὐτῶν Ἐλισοὺρ, υἱὸς Σεδιούρ: 19 καὶ ἐπὶ
τῆς δυνάμεως φυλῆς υἱῶν Συμεὼν, Σαλαμιὴλ
υἱὸς Σουρισαδαΐ· 20 καὶ ἐπὶ τῆς δυνάμεως φυλῆς
υἱῶν Γὰδ Ἐλισὰφ ὁ τοῦ Ῥαγουήλ· 21 καὶ ἐξα-
ροῦσιν οἱ υἱοὶ Καὰθ αἴροντες τὰ ἅγια, καὶ στή-
σουσιν τὴν σκηνὴν ἕως παραγένωνται· 22 καὶ
ἐξαροῦσιν τάγμα παρεμβολῆς Ἐφραὶμ συν δυ-
νάμει αὐτῶν· 23 καὶ ἐπὶ τῆς δυνάμεως αὐτῶν
Ἐλισαμὰ, υἱὸς Ἐμιοὺδ, καὶ ἐπὶ τῆς δυνάμεως
φυλῆς υἱῶν Μανασσῆ Γαμαλιὴλ ὁ τοῦ Φαδασ-
σοὺρ, 24 καὶ ἐπὶ τῆς δυνάμεως φυλῆς υἱῶν Βενια-
μὶν Ἀβιδὰν, ὁ τοῦ Γεδεωνί· 25 καὶ ἐξαροῦσιν
* τάγμα παρεμβολῆς υἱῶν Δὰν, ἔσχατοι πα- *126
σῶν τῶν παρεμβολῶν σὺν δυνάμει αὐτῶν· καὶ
ἐπὶ τῆς δυνάμεως αὐτῶν Ἀχιέζερ, ὁ τοῦ Ἀμι-
σαδαΐ· 26 καὶ ἐπὶ τῆς δυνάμεως φυλῆς υἱῶν
Ἀσὴρ, Φαγαιὴλ υἱὸς Ἐχράν· 27 καὶ ἐπὶ τῆς δυ-
νάμεως φυλῆς υἱῶν Νεφθαλὶ, Ἀχιρὲ, υἱὸς Αἰνάν·
28 αὗται αἱ στρατιαὶ υἱῶν Ἰσραήλ, καὶ ἐξῆραν
σὺν δυνάμει αὐτῶν·

ΙΣ 29 Καὶ εἶπεν Μωϋσῆς τῷ Ἰωβὰβ υἱῷ Ῥαγουὴλ τῷ
Μαδιανίτῃ γαμβρῷ Μωϋσῆ, ἐξαίρομεν ἡμεῖς εἰς
τὸν τόπον ὃν εἶπεν κύριος, τοῦτον δώσω ὑμῖν·
δεῦρο μεθ' ἡμῶν καὶ εὖ σε ποιήσομεν, ὅτι κύ-
ριος ἐλάλησεν καλὰ περὶ Ἰσραήλ· 30 καὶ εἶπεν
πρὸς αὐτόν· οὐ πορεύσομαι, ἀλλὰ εἰς τὴν γῆν
μου, καὶ εἰς τὴν γενεάν μου· 31 καὶ εἶπεν· μὴ
ἐγκαταλείπῃς ἡμᾶς οὗ εἵνεκεν ἦσθα μεθ' ἡμῶν ἐν
τῇ ἐρήμῳ· καὶ ἔσῃ ἡμῖν πρεσβύτης, 32 καὶ ἔσται
ἐὰν πορευθῇς μεθ' ἡμῶν, καὶ ἔσται τὰ ἀγαθὰ ἐκεῖ-
να, ὅσα ἂν ἀγαθοποιήσῃ κύριος ἡμᾶς, καὶ εὖ σε
ΚΔ ποιήσομεν· 33 καὶ ἐξῆραν ἐκ τοῦ ὄρους κυρίου ὁδὸν,
Τριῶν ἡμερῶν, καὶ ἡ κιβωτὸς διαθήκης κυρίου, προε-
πορεύετο προτέρα αὐτῶν, ὁδὸν τριῶν ἡμερῶν κα-
τασκέψασθαι αὐτοῖς ἀνάπαυσιν·
34 Καὶ ἐγένετο ἐν τῷ ἐξαίρειν τὴν κιβωτὸν, καὶ εἶ-
πεν Μωϋσῆς· ἐγέρθητι κύριε, διασκορπισθήτω-
σαν οἱ ἐχθροί σου· φυγέτωσαν πάντες οἱ μισοῦν-
τές σε· 35 καὶ ἐν τῇ καταπαύσει εἶπεν· ἐπίστρεφε
κύριε, χιλιάδας μυριάδας ἐν τῷ Ἰσραήλ· 36 καὶ
ἡ νεφέλη ἐγένετο σκιάζουσα ἐπ' αὐτοῖς ἡμέ-
ρας, ἐν τῷ ἐξαίρειν αὐτοὺς ἐκ τῆς παρεμβο-
ΙΖ λῆς· XI. 1 καὶ ἦν ὁ λαὸς γογ-
γύζων πονηρὰ ἔναντι κυρίου, καὶ ἤκουσεν κύριος,
καὶ ἐθυμώθη ὀργῇ· καὶ ἐξεκαύθη ἐν αὐτοῖς
πῦρ παρὰ κυρίου, καὶ κατέφαγεν μέρος τι τῆς
παρεμβολῆς· 2 καὶ ἐκέκραξεν ὁ λαὸς πρὸς Μωϋ-
*127 σῆν· καὶ ηὔξατο * Μωϋσῆς πρὸς κύριον·
καὶ

ΙΣ ΑΝΑΧΩΡΗϹΙϹ ΙΩΒΑΒ ΤΟΥ ΓΑΜΒΡΟΥ ΜΩΥϹΕΩϹ.

ΙΖ ΠΕΡΙ ΓΟΓΓΥϹΜΟΥ ΤΟΥ ΛΑΟΥ ΚΑΙ ΤΟΥ ΓΕΓΟΝΟΤΟϹ ΕΜΠΥΡΙϹΜΟΥ.

καὶ ἐκόπασεν τὸ πῦρ, [3] καὶ ἐκλήθη τὸ ὄνομα
τῷ τόπῳ ἐκείνῳ ἐνπυρισμὸς, ὅτι ἐξεκαύθη ἐν
αὐτοῖς πῦρ παρὰ κυρίου·
[4] Καὶ ὁ ἐπίμικτος ἐν αὐτοῖς, ἐπεθύμησαν ἐπιθυ-
μίαν καὶ καθίσαντες ἔκλαιον, καὶ οἱ υἱοὶ Ἰσραὴλ,
καὶ εἶπαν· τίς ἡμᾶς ψωμιεῖ κρέα, [5] ἐμνήσθημεν
τοὺς ἰχθύας οὓς ἠσθίομεν ἐν Αἰγύπτῳ δωρεὰν,
καὶ τοὺς σικύους, καὶ τοὺς πέπονας, καὶ τὰ πράσα,
καὶ τὰ κρόμμυα, καὶ τὰ σκόροδα· [6] νυνὶ δὲ ἡ
ψυχὴ ἡμῶν κατάξηρος· οὐδὲν πλὴν εἰς τὸ μάννα
οἱ ὀφθαλμοὶ ἡμῶν· [7] τὸ δὲ μάννα, ὡσεὶ σπέρ-
μα κορίου ἐστίν· καὶ τὸ εἶδος αὐτοῦ, ὡσεὶ κρυ-
στάλλου· [8] καὶ διεπορεύετο ὁ λαὸς καὶ συνέλε-
γον, καὶ ἤληθον αὐτὸ ἐν τῷ μύλῳ, καὶ διέ-
τριβον ἐν τῇ θυΐᾳ· καὶ ἧψουν αὐτὸ ἐν τῇ
χύτρᾳ, καὶ ἐποίουν αὐτὸ ἐγκρυφίας· καὶ ἦν ἡ
ἡδονὴ αὐτοῦ ὡσεὶ γεῦμα, ἐγκρὶς g) ἐξ ἐλαίου
[9] καὶ ὅτ' ἂν κατέβη ἡ δρόσος ἐπὶ τὴν παρεμ-
βολὴν νυκτὸς, κατέβαινεν τὸ μάννα ἐπ'
αὐτῆς· [10] καὶ ἤκουσεν Μωϋσῆς κλαιόν-
των αὐτῶν, κατὰ δήμους αὐτῶν, ἕκαστον ἐπὶ τῆς θύ-
ρας αὐτοῦ· καὶ ἐθυμώθη ὀργῇ κύριος σφόδρα, καὶ
ἔναντι Μωϋσῇ ἦν πονηρόν· [11] καὶ εἶπεν Μωϋσῆς
πρὸς κύριον· ἵνατί ἐκάκωσας τὸν θεράποντα σου·
καὶ διὰ τί οὐχ εὕρηκα χάριν ἐναντίον σου, ἐπι-
θεῖναι τὴν h) ὀργὴν τοῦ λαοῦ τούτου ἐπ' ἐμέ·
[12] μὴ ἐγὼ ἐν γαστρὶ ἔλαβον τὸν πάντα λαὸν
τοῦτον, ἢ ἐγὼ ἔτεκον αὐτοὺς, ὅτι λέγεις μοι λά-
βε αὐτοὺς εἰς τὸν κόλπον σου, ὡσεὶ ἄραι τιθη- CH
νὸς τὸν θηλάζοντα εἰς τὴν γῆν, ἣν ὤμοσας
τοῖς

g) ΑΚ. τοῦ μαστοῦ ἔλαιον. ΣΥ. μαστοῦ εἰς λίπος ἐκ μέλιτος.
h) ΑΚ. τὸ ἄρμα. ΣΥ. τοβαη √.
ΘΕ. τὴν ὁρμήν.

τοῖς πατράσιν αὐτῶν· [13] πόθεν κρέα δοῦναι παντὶ
τῷ λαῷ τούτῳ, ὅτι κλαίουσιν ἐπ' ἐμοὶ λέγον-
τες· δὸς ἡμῖν κρέα ἵνα φάγωμεν· [14] οὐ δυνήσο-
μαι ἐγὼ μόνος φέρειν τὸν λαὸν τοῦτον, ὅτι βα-
ρύ μοι ἐστὶν τὸ ῥῆμα τοῦτο· [15] εἰ δ' οὕτως σὺ
*128 ποιεῖς * μοι, ἀπόκτεινόν με ἀναιρέσει εἰ εὕρηκα
χάριν καὶ ἔλεος παρὰ σοὶ, ἵνα μὴ ἴδω τὴν κά-
κωσίν μου·
ΙΗ [16] Καὶ εἶπεν κύριος πρὸς Μωϋσῆν· συναγάγετέ μοι
ἑβδομήκοντα ἄνδρας ἀπὸ τῶν πρεσβυτέρων Ἰσρα-
ὴλ, οὓς σὺ αὐτὸς οἶδας, ὅτι οὗτοι εἰσὶν πρεσβύ-
τεροι τοῦ λαοῦ καὶ γραμματεῖς αὐτῶν· καὶ
ἄξεις αὐτοὺς εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ
στήσονται ἐκεῖ μετὰ σοῦ, [17] καὶ καταβήσομαι,
καὶ λαλήσω ἐκεῖ μετὰ σοῦ, καὶ ἀφελῶ ἀπὸ τοῦ
πνεύματος τοῦ ἐπὶ σοὶ, καὶ ἐπιθήσω ἐπ' αὐ-
τοὺς, καὶ συναντιλήψονται μετὰ σοῦ τὴν ὁρμὴν
τοῦ λαοῦ· καὶ οὐκ οἴσεις αὐτοὺς σὺ μόνος·
[18] καὶ τῷ λαῷ ἐρεῖς· ἁγνίσασθε i) εἰς αὔριον,
καὶ φάγεσθε κρέα, ὅτι ἐκλαύσατε ἔναντι κυρίου
λέγοντες· τίς ἡμᾶς ψωμιεῖ κρέα, ὅτι καλὸν ἡ-
μῖν ἐστὶν ἐν Αἰγύπτῳ· καὶ δώσει κύριος ὑμῖν
κρέα φαγεῖν· καὶ φάγεσθε καὶ κρέα, [19] οὐχ
ἡμέραν μίαν φάγεσθε, οὐδὲ δύο, οὐδὲ πέντε ἡμέ-
ρας, οὐδὲ δέκα ἡμέρας, οὐδὲ εἴκοσι ἡμέρας·
[20] ἕως μηνὸς ἡμερῶν φάγεσθε, ἕως ἂν ἐξέλθῃ
ἐκ τῶν μυκτήρων ὑμῶν, καὶ ἔσται ὑμῖν εἰς χο-
λεράν· ὅτι ἠπειθήσατε κυρίῳ ὅς ἐστιν ἐν
ὑμῖν,

ΙΗ ΠΕΡΙ ΤΩΝ Ο ΠΡ, ΠΡ, ΤΩΝ ΠΡΟΦΗΤΕΥ-
ΣΑΝΤΩΝ.

i) καθὰ καὶ Ἱερεμίας φησίν· ἅγνισον αὐτοὺς εἰς ἡμέραν σφα-
γῆς αὐτῶν, καὶ κάτω τὸ κέ κεφάλαιον.

ὑμῖν, καὶ ἐκλαύσατε ἐναντίον αὐτοῦ λέ-
γοντες, ἵνατί ἡμῖν ἐξελθεῖν ἐξ Αἰγύ-
πτου· [21] καὶ εἶπεν Μωϋσῆς, ἑξακόσιαι
Χιλιάδες πεζῶν ὁ λαὸς, ἐν οἷς εἰμὶ ἐν αὐτοῖς, καὶ
σὺ εἶπας κρέα δώσω αὐτοῖς, καὶ φάγονται μῆνα
ἡμερῶν, [22] μὴ πρόβατα καὶ βόες σφαγήσονται αὐ-
τοῖς, καὶ ἀρκέσει αὐτοῖς; ἢ πᾶν τὸ ὄψον τῆς θα-
λάσσης συναχθήσεται αὐτοῖς καὶ ἀρκέσει αὐτοῖς·
[23] Καὶ εἶπεν κύριος πρὸς Μωϋσῆν· μὴ ἡ χεὶρ κυρίου
οὐχὶ ἐξαρκέσει; ἤδη γνώσῃ, ἡ ἐπικαταλήψεταί
σε ὁ λόγος μου ἢ οὔ. [24] καὶ ἐξῆλθεν Μωϋσῆς,
καὶ ἐλάλησεν πρὸς τὸν λαὸν, τὰ ῥήματα κυρίου,
καὶ συνήγαγεν ἑβδομήκοντα ἄνδρας ἀπὸ τῶν
πρεσβυ*τέρων τοῦ λαοῦ, καὶ ἔστησεν αὐτοὺς κύκλῳ *129
τῆς σκηνῆς· [25] καὶ κατέβη κύριος ἐν νεφέλῃ, καὶ
ἐλάλησεν κύριος πρὸς αὐτόν· καὶ παρείλετο ἀπὸ
τοῦ πνεύματος τοῦ ἐπ' αὐτῷ, καὶ ἐπέθηκεν ἐπὶ
τοὺς ἑβδομήκοντα ἄνδρας τοὺς πρεσβυτέρους· ὡς
δὲ ἐπανεπαύσατο ἐπ' αὐτοὺς τὸ πνεῦμα, καὶ
ἐπροφήτευσαν, καὶ οὐκέτι προσέθεντο· [26] καὶ
κατελείφθησαν δύο ἄνδρες ἐν τῇ παρεμβολῇ, ὄνο-
μα τῷ ἑνὶ Ἐλδὰδ καὶ ὄνομα τῷ δευτέρῳ Μωδὰδ
καὶ ἐπανεπαύσατο ἐπ' αὐτοὺς τὸ πνεῦμα· καὶ
οὗτοι ἦσαν τῶν καταγεγραμμένων καὶ οὐκ ἦλθον
εἰς τὴν σκηνὴν, καὶ ἐπροφήτευσαν ἐν τῇ παρεμ-
βολῇ· [27] καὶ προσδραμὼν ὁ νεανίσκος, ἀπήγγει-
λεν τῷ Μωϋσῇ· καὶ εἶπεν λέγων· Ἐλδὰδ καὶ Μω-
δὰδ προφητεύουσιν ἐν τῇ παρεμβολῇ· [28] καὶ
ἀποκριθεὶς Ἰησοῦς ὁ τοῦ Ναυὴ ὁ παρεστηκὼς Μωϋ-
σῇ ὁ ἐκλεκτὸς αὐτοῦ, εἶπεν· κύριέ μου Μωϋ-
σῆ, κώλυσον αὐτούς· [29] καὶ εἶπεν αὐτῷ Μωϋ-
σῆς· μὴ ζηλοῖς σύ μοι· καὶ τίς δῴη πάντα τὸν
λαὸν κυρίου προφήτας, ὅταν δῷ κύριος τὸ
πνεῦμα

πνεῦμα αὐτοῦ ἐπ' αὐτούς· 30 καὶ ἀπῆλθεν
Μωϋσῆς εἰς τὴν παρεμβολὴν, αὐτὸς, καὶ οἱ
πρεσβύτεροι Ἰσραήλ·
ΙΘ 31 Καὶ πνεῦμα ἐξῆλθεν παρὰ κυρίου, καὶ ἐξεπέρα-
σεν ὀρτυγομήτραν ἀπὸ τῆς θαλάσσης, καὶ ἐπέ-
βαλεν ἐπὶ τὴν παρεμβολὴν, ὁδὸν ἡμέρας ἐν-
τεῦθεν, καὶ ὁδὸν ἡμέρας ἐντεῦθεν, κύκλῳ τῆς
παρεμβολῆς, ὡσεὶ δίπηχυ ἀπὸ τῆς γῆς· 32 καὶ
ἀναστὰς ὁ λαὸς ὅλην τὴν ἡμέραν, καὶ ὅλην τὴν
νύκτα, καὶ ὅλην τὴν ἡμέραν τὴν ἐπαύριον· καὶ
συνήγαγον τὴν ὀρτυγομήτραν, ὁ τὸ ὀλίγον συνή-
γαγεν δέκα κόρους, καὶ ἔψυξαν ἑαυτοῖς ψυγμοὺς
κύκλῳ τῆς παρεμβολῆς· 33 τὰ κρέα ἔτι ἦν ἐν τοῖς
ὀδοῦσιν αὐτῶν, πρὶν ἐκλείπειν· καὶ κύριος ἐθυ-
*130 μώθη εἰς τὸν λαὸν, καὶ ἐπάτα*ξεν κύριος ἐν
τῷ λαῷ πληγὴν μεγάλην σφόδρα, 34 καὶ ἐκλή-
θη τὸ ὄνομα τοῦ τόπου ἐκείνου, μνήματα τῆς ἐπι-
θυμίας, ὅτι ἐκεῖ ἔθαψαν τὸν λαὸν τὸν ἐπιθυμη-
τὴν, 35 ἀπὸ μνημάτων τῆς ἐπιθυμίας, ἐξῆρεν ὁ λαὸς
ἐν Ἀσηρὼθ· καὶ ἐγένετο ὁ λαὸς ἐν Ἀσηρώθ·
Κ XII. 1 Καὶ ἐλάλησεν Μαριὰμ καὶ Ἀαρὼν, κατὰ
Μωϋσῆ, ἕνεκεν τῆς γυναικὸς τῆς Αἰθιοπίσσης,
ἣν ἔλαβεν Μωϋσῆς, ὅτι γυναῖκα Αἰθιόπισσαν
ἔλαβεν· 2 καὶ εἶπαν· μὴ Μωϋσῇ μόνῳ ἐλάλη-
σεν κύριος, οὐχὶ καὶ ἡμῖν ἐλάλησεν, καὶ ἤκου-
σεν κύριος· 3 καὶ ὁ ἄνθρωπος Μωϋσῆς πραῢς
σφόδρα παρὰ πάντας τοὺς ἀνθρώπους τοὺς ὄν-
τας ἐπὶ τῆς γῆς· 4 καὶ εἶπεν κύριος παρὰ

Χρῆμα

ΙΘ ΠΕΡΙ ΤΗC ΟΡΤΥΓΟΜΗΤΡΑC ΚΑΙ ΤΟΥ ΘΑΝΑΤΟΥ ΤΟΥ ΛΑΟΥ.

Κ ΠΕΡΙ ΤΗC ΛΕΠΡΑC ΜΑΡΙΑC ΗΝ ΕCΧΕΝ ΤΥΡΙCΑCΑ ΤΗΝ ΓΥΝΑΙΚΑ ΜΩΥCΗ.

Χρῆμα πρὸς Μωϋσῆν καὶ Ἀαρὼν καὶ Μαριάμ·
ἐξέλθετε ὑμεῖς οἱ τρεῖς εἰς τὴν σκηνὴν τοῦ μαρ-
τυρίου, 5 καὶ ἐξῆλθον οἱ τρεῖς εἰς τὴν σκηνὴν τοῦ
μαρτυρίου, καὶ κατέβη κύριος ἐν στύλῳ νεφέλης,
καὶ ἔστη ἐπὶ τῆς θύρας τῆς σκηνῆς τοῦ μαρτυ-
ρίου· καὶ ἐκλήθησαν Ἀαρὼν καὶ Μαριὰμ καὶ
ἐξῆλθον ἀμφότεροι· 6 καὶ εἶπεν πρὸς αὐτούς·
ἀκούσατε τῶν λόγων μου· ἐὰν γένηται προφή-
της ὑμῶν κυρίῳ, ἐν ὁράματι αὐτῷ γνωσθήσο-
μαι, καὶ ἐν ὕπνῳ λαλήσω αὐτῷ· 7 οὐχ οὕτως ὡς
ὁ θεράπων μου Μωϋσῆς, ἐν ὅλῳ τῷ οἴκῳ μου
πιστός ἐστιν, 8 στόμα κατὰ στόμα λαλήσω αὐτῷ,
ἐν εἴδει καὶ οὐ δι᾽ αἰνιγμάτων, καὶ τὴν δόξαν k)
κυρίου εἶδεν·
Καὶ διατί οὐκ ἐφοβήθητε καταλαλῆσαι, κατὰ τοῦ
θεράποντός μου Μωϋσῆ· 9 καὶ ὀργὴ θυμοῦ κυ-
ρίου ἐπ᾽ αὐτοῖς, καὶ ἀπῆλθον· 10 καὶ ἡ νε-
φέλη ἀπέστη ἀπὸ τῆς σκηνῆς· καὶ ἰδοὺ Μα-
ριὰμ λεπρῶσα ὡσεὶ χιών· καὶ ἐπέβλεψεν Ἀα-
ρὼν πρὸς Μαριὰμ καὶ ἰδοὺ λεπρῶσα· 11 καὶ
εἶπεν Ἀαρὼν πρὸς Μωϋσῆν· δέομαι κύριε, μὴ
συνεπίθῃ * ἡμῖν ἁμαρτίαν, δι᾽ ὅτι ἠγνοήσαμεν* 131
καθότι ἡμάρτομεν, 12 μὴ γένηται ὡσεὶ ἴσον θα-
νάτῳ ὡσεὶ ἔκτρωμα ἐκπορευόμενον ἐκ μήτρας
μητρὸς, καὶ κατεσθίει τὸ ἥμισυ τῶν σαρκῶν
αὐτῆς·
13 Καὶ ἐβόησεν Μωϋσῆς πρὸς κύριον λέγων, ὁ θεὸς,
δέομαί σου ἴασαι αὐτήν· 14 καὶ εἶπεν κύ-
ριος πρὸς Μωϋσῆν· εἰ ὁ πατὴρ αὐτῆς πτύων
ἐνέπτυσεν εἰς τὸ πρόσωπον αὐτῆς, οὐκ ἐντραπή-
σεται

k) ὅτε μετεμορφώθη χ̅ς̅ ἐν τῷ ὄρει.

σεται ἑπτὰ ἡμέρας· ἀφοριθήτω ἑπτὰ ἡμέρας
ἔξω τῆς παρεμβολῆς, καὶ μετὰ ταῦτα εἰσελεύ-
σεται· 15 καὶ ἀφωρίσθη Μαριὰμ ἔξω τῆς παρεμ-
βολῆς ἑπτὰ ἡμέρας, καὶ ὁ λαὸς οὐκ ἐξῆ-
ρεν, ἕως ἐκαθερίσθη Μαριάμ. XIII. 1 καὶ με-
τὰ ταῦτα ἐξῆρεν ὁ λαὸς ἐξ Ἀσηρὼθ,
KS καὶ παρενέβαλον ἐν τῇ ἐρήμῳ τοῦ Φαράν·
KA 2 Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσὴν λέγων· 3 ἀπό-
στειλον σὲ αὐτῷ ἄνδρας, καὶ κατασκεψάσθωσαν
τὴν γῆν τῶν Χαναναίων, ἣν ἐγὼ δίδωμι τοῖς
υἱοῖς Ἰσραὴλ εἰς κατάσχεσιν, ἄνδρα ἕνα κατὰ
φυλὴν· κατ' οἴκους πατριῶν αὐτῶν, κατὰ δήμους
αὐτῶν ἀποστελεῖς αὐτοὺς πάντα ἀρχηγὸν ἐξ αὐ-
τῶν· 4 καὶ ἐξαπέστειλεν αὐτοὺς Μωϋσῆς ἐκ τῆς
ἐρήμου Φαρὰν διὰ φωνῆς κυρίου· πάντες ἄνδρες ἀρ-
χηγοὶ υἱῶν Ἰσραὴλ οὗτοι· 5 καὶ ταῦτα τὰ
ὀνόματα αὐτῶν τῆς φυλῆς Ῥουβὴν, Σαλαμιὴλ
υἱὸς Ζακχοὺρ· 6 τῆς φυλῆς Συμεὼν, Σαφὰτ υἱὸς
Σουρί· 7 τῆς φυλῆς Ἰούδα, Χαλὲβ υἱὸς Ἰεφονή·
8 τῆς φυλῆς Ἰσσαχὰρ, Ἰγὰλ υἱὸς Ἰωσήφ· 9 τῆς
φυλῆς Ἐφραὶμ Αὐσὴ, υἱὸς Ναυή· 10 τῆς φυλῆς
Βενιαμὶν, Φαλτὶ, υἱὸς Ῥαφοῦ· 11 τῆς φυλῆς Ζαβου-
λὼν, Γουδιὴλ, υἱὸς Σουδί· 12 τῆς φυλῆς Ἰωσὴφ
τῶν υἱῶν Μανασσῆ Γαδδὶ, υἱὸς Σουσί· 13 τῆς φυ-
λῆς Δὰν, Ἀμιὴλ υἱὸς Γαμαλιήλ· 14 τῆς φυλῆς
*132 Ἀσὴρ, Σαθοὺρ, υἱὸς Μιχαήλ· 15 τῆς φυ*λῆς Νε-
φθαλὶ, Ναβεὶ, υἱὸς Ἰαβί· 16 τῆς φυλῆς Γὰδ
Γουδιὴλ, υἱὸς Μαχί·
17 Ταῦτα τὰ ὀνόματα τῶν ἀνδρῶν, οὓς ἀπέστειλεν
Μωϋσῆς, κατασκέψασθαι τὴν γῆν· καὶ ἐπωνόμασεν
Μωϋσῆς

ΚΑ ΠΕΡΙ ΤΩΝ ΑΠΟΣΤΑΛΕΝΤΩΝ ΚΑΤΑΣΚΕ-
ΨΗΣΑΙ ΤΗΝ ΓΗΝ.

Μωϋσῆς τὸν Αὐσὴ υἱὸν Ναυὴ Ἰησοῦν· 18 καὶ ἀπέ-
στειλεν αὐτοὺς Μωϋσῆς ἐκ τῆς ἐρήμου Φαρὰν, κατα-
σκέψασθε τὴν γῆν Χαναάν· καὶ εἶπεν πρὸς αὐτούς·
ἀνάβητε ταύτη τῇ ἐρήμῳ, καὶ ἀναβήσεσθε εἰς τὸ
ὄρος, 19 καὶ ὄψεσθε τὴν γῆν τίς ἐστιν· καὶ τὸν λαὸν τὸν
ἐγκαθήμενον ἐπ᾽ αὐτῆς, ἢ ἰσχυρός ἐστιν ἢ ἀσθενής·
ἢ ὀλίγοι εἰσὶν, ἢ πολλοί· 20 καὶ τίς ἡ γὴ εἰς ἣν
οὗτοι ἐγκάθηνται ἐπ᾽ αὐτῆς· εἰ καλή ἐστιν, ἢ πο-
νηρά· καὶ τίνες αἱ πόλεις εἰς ἃς οὗτοι κατοικοῦσιν
ἐν αὐταῖς, εἰ ἐν τειχήρεσσιν, ἢ ἐν ἀτειχίστοις·
21 καὶ τίς ἡ γὴ, ἢ πίων, ἢ παρειμένη, εἰ
ἔστιν ἐν αὐτῇ δένδρα, ἢ οὔ· καὶ προσ-
καρτερήσαντες, λήψεσθε ἀπὸ τῶν καρπῶν
τῆς γῆς· καὶ αἱ ἡμέραι, ἡμέραι ἔαρος πρόδρομοι
σταφυλῆς· 22 καὶ ἀναβάντες, κατεσκέψαντο
Τὴν γῆν ἀπὸ τῆς ἐρήμου, Cὶν, ἕως Ῥοὼθ l), εἰσπο-
ρευομένων Αἱμὰθ᾽ m) 23 καὶ ἀνέβησαν κατὰ τὴν
ἔρημον, καὶ ἦλθον ἕως Χεβρὼν· καὶ ἐκεῖ Ἀχιμὰν,
καὶ Cεσὶ, καὶ Θελαμεὶ, γενεαὶ Ἐνάκ᾽ καὶ Χεβρὼν
ἑπτὰ ἔτεσιν ᾠκοδομήθη, πρὸ τοῦ Τανὶν Αἰγύπτου,
24 καὶ ἤλθοσαν ἕως Φάραγγος βότρυος, καὶ κατε-
σκέψαντο αὐτὴν, καὶ ἔκοψαν ἐκεῖθεν κλῆμα
καὶ βότρυν σταφυλῆς ἕνα ἐπ᾽ αὐτοῦ, καὶ ἦρον
αὐτὸν ἐπ᾽ ἀναφορεῦσιν, καὶ ἀπὸ τῶν ῥοῶν, καὶ
ἀπὸ τῶν σύκων· 25 καὶ τὸν τόπον ἐκεῖνον ἐπωνό-
μασαν Φάραγξ βότρυος, διὰ τὸν βότρυν
ὃν ἔκοψαν ἐκεῖθεν οἱ υἱοὶ Ἰσραήλ·
*26 Καὶ ἐπέστρεψαν ἐκεῖθεν κατασκεψάμενοι τὴν γῆν, *133
μετὰ τεσσεράκοντα ἡμέρας· 27 καὶ πορευθέντες,
ἦλθον πρὸς Μωϋσῆν καὶ Ἀαρὼν, καὶ πρὸς πᾶ-
σαν

l) ῥαάβ᾽ m) ἐφρακτ᾽

σαν συναγωγὴν υἱῶν Ἰσραήλ· εἰς τὴν ἔρημον
Φαρὰν Κάδης· καὶ ἀπεκρίθησαν αὐτοῖς ῥῆμα,
καὶ πάσῃ τῇ συναγωγῇ, καὶ ἔδειξαν τὸν καρ-
πὸν τῆς γῆς, 28 καὶ διηγήσαντο αὐτῷ καὶ εἶπαν·
ἤλθομεν εἰς τὴν γῆν εἰς ἣν ἀπέςειλας ἡμῖν, γῆν
ῥέȣσαν γάλα καὶ μέλι, καὶ ȣ̃τος ὁ καρπὸς αὐ-
τῆς· 29 ἀλλὴ ὅτι θρασὺ τὸ ἔθνος, τὸ κατοικȣ̃ν
τὴν γῆν, καὶ αἱ πόλεις ὀχυραὶ, τετειχισμέναι
μεγάλαι σφόδρα, καὶ τὴν γενεὰν Ἐνὰκ ἑωρά-
καμεν ἐκεῖ· 30 καὶ Ἀμαλὴκ κατοικεῖ ἐν τῇ γῇ
τῇ πρὸς νότον· καὶ ὁ Χετταῖος, καὶ ὁ Εὐαῖος,
καὶ ὁ Ἰεβȣσαῖος, καὶ ὁ Ἀμοῤῥαῖος κατοικεῖ ἐν
τῇ ὀρινῇ, καὶ ὁ Χαναναῖος, κατοικεῖ παρὰ θά-
λασσαν, καὶ παρὰ τὸν Ἰορδάνην ποταμόν·
31 Καὶ κατεσίωπησαν Χαλὲβ καὶ Ἰησȣ̃ς τὸν λαὸν
πρὸς Μωϋσήν· καὶ εἶπαν αὐτῷ· ȣ̓χὶ, ἀλλὰ ἀνα-
βάντες ἀναβησόμεθα, καὶ κατακληρονομήσομεν
αὐτὴν, ὅτι δυνατοὶ δυνησόμεθα πρὸς αὐτȣ́ς·
32 καὶ οἱ ἄνθρωποι οἱ συναναβάντες μετ' αὐτῶν, εἶ-
παν· ȣ̓κ ἀναβαίνομεν ὅτι ȣ̓ μὴ δυνώμεθα ἀναβῆ-
ναι πρὸς τὸ ἔθνος, ὅτι ἰσχυρότερον ἡμῶν ἐςὶν μᾶλλον·
33 Καὶ ἐξήνεγκαν ἔκςασιν τῆς γῆς, ἣν κατεσκέψαντο
αὐτὴν, πρὸς τȣ̀ς υἱȣ̀ς Ἰσραὴλ λέγοντες· τὴν γῆν
ἣν παρήλθομεν αὐτὴν κατασκέψασθαι, γῆ κατ-
εσθίȣσα τȣ̀ς κατοικȣ̃ντας ἐπ' αὐτῆς ἐςιν· καὶ
πᾶς ὁ λαὸς ὃν ἑωράκαμεν ἐν αὐτῇ, ἄνδρες
ὑπερμήκεις, 34 καὶ ἐκεῖ ἑωράκαμεν τȣ̀ς γίγαν-
τας n), καὶ ἦμεν ἐνώπιον αὐτῶν ὡσεὶ
ἀκρίδες, ἀλλὰ καὶ ȣ̔́τως ἦμεν o) ἐνώπιον αὐτῶν·
XIIII. 1 Καὶ ἀναλαβȣ̃σα πᾶσα ἡ συναγωγὴ ἔδω-
*134 καν * φωνὴν, καὶ ἔκλαιεν ὁ λαὸς ὅλην τὴν νύκτα
ἐκεί-

n) ст. τεραςιȣς. o) ἐγενήθημεν.

ἐκείνην, [2] καὶ διεγόγγυζον ἐπὶ Μωϋσῆν καὶ Αα-
ρὼν πάντες οἱ υἱοὶ Ἰσραήλ· καὶ εἶπαν πρὸς αὐ-
τοὺς πᾶσα ἡ συναγωγή· [3] ὄφελον ἀπεθάνομεν
ἐν γῇ Αἰγύπτῳ, ἢ ἐν τῇ ἐρήμῳ ταύτῃ, εἰ p)
ἀπεθάνομεν· καὶ ἱνατί κύριος εἰσάγει ἡμᾶς εἰς
τὴν γῆν ταύτην, πεσεῖν ἐν πολέμῳ, αἱ γυναῖ-
κες ἡμῶν καὶ τὰ παιδία, ἔσονται εἰς διαρπαγήν·
νῦν οὖν, βέλτιον ἡμῖν ἐστιν ἀποστραφῆναι εἰς
Αἴγυπτον· [4] καὶ εἶπαν ἕτερος τῷ ἑτέρῳ· δῶ-
μεν ἀρχηγὸν καὶ ἀποστρέψωμεν εἰς Αἴγυπτον·
[5] Καὶ ἔπεσεν Μωϋσῆς καὶ Ἀαρὼν ἐπὶ πρόσωπον ἐναν-
τίον πάσης συναγωγῆς υἱῶν Ἰσραήλ· [6] Ἰησοῦς δὲ ὁ
υἱὸς ὁ τοῦ Ναυὴ, καὶ Χαλὲβ ὁ τοῦ Ἰεφονὴ, τῶν
κατασκεψαμένων τὴν γῆν, διέρρηξαν τὰ ἱμάτια
αὐτῶν, [7] καὶ εἶπαν πρὸς πᾶσαν συναγωγὴν υἱῶν
Ἰσραὴλ λέγοντες· ἡ γῆ ἣν κατεσκεψάμεθα αὐ-
τὴν, ἀγαθή ἐστιν σφόδρα σφόδρα· [8] εἰ αἱρετίζει
ἡμᾶς κύριος, εἰσάξει ἡμᾶς εἰς τὴν γῆν ταύτην,
καὶ δώσει ἡμῖν αὐτήν· γῆ, ἥτις ἐστὶν ῥέουσα γάλα
καὶ μέλι· [9] ἀλλὰ ἀπὸ τοῦ κυρίου μὴ ἀποστάται
γίνεσθε· ὑμεῖς δὲ, μὴ φοβηθῆτε τὸν λαὸν τῆς γῆς,
ὅτι κατάβρωμα ἡμῖν ἐστιν· ἀφέστηκεν γὰρ ὁ καιρὸς
ἀπ' αὐτῶν, ὁ δὲ κύριος ἐν ἡμῖν· μὴ φοβηθῆτε αὐτούς·
[10] Καὶ εἶπεν πᾶσα ἡ συναγωγὴ, καταλιθοβολῆσαι
αὐτοὺς λίθοις· καὶ ἡ δόξα κυρίου ὤφθη ἐν νεφέλῃ ἐπὶ
τῆς σκηνῆς τοῦ μαρτυρίου, ἐν πᾶσι τοῖς υἱοῖς Ἰσραήλ·
[11] Καὶ εἶπεν κύριος πρὸς Μωϋσῆν· ἕως τίνος παρο-
ξύνει με ὁ λαὸς οὗτος· καὶ ἕως τίνος οὐ πιστεύου-
σίν μοι ἐν πᾶσιν τοῖς σημείοις οἷς ἐποίησα ἐν
αὐτοῖς· [12] ἄφες με καὶ πατάξω αὐτοὺς θανάτῳ, καὶ

 ἀπο-

p) AK. καὶ οἱ Λ. ὄφελον ἀποθάνομεν.

ἀπολῶ αὐτȣ̀ς, καὶ ποιήσω σὲ καὶ τὸν οἶκον τȣ̃ πα-
*135 τρός* σȣ, εἰς ἔθνος μέγα καὶ πολὺ μᾶλλον, ἢ τȣ̃το.
13 Καὶ εἶπεν Μωϋσῆς πρὸς κύριον· καὶ ἀκȣ́σεται Αἴ-
γυπτος, ὅτι ἀνήγαγες ἐν ἰσχύει σȣ τὸν λαὸν
τȣ̃τον ἐξ αὐτῶν, 14 ἀλλὰ καὶ πάντες οἱ κατοι-
κȣ̃ντες ἐπὶ τῆς γῆς ταύτης, ἀκηκόασιν ὅτι σὺ
εἶ κύριος ἐν τῷ λαῷ τȣ́τῳ, ὅστις ὀφθαλμȣ̀ς
κατ᾽ ὀφθαλμȣ̀ς ὀπτάζῃ κύριε· καὶ ἡ νεφέλη σȣ
ἐφέστηκεν ἐπ᾽ αὐτῶν, καὶ ἐν στύλῳ νεφέλης, σὺ
πορεύῃ πρότερος αὐτῶν τὴν ἡμέραν, καὶ ἐν στύ-
λῳ πυρὸς τὴν νύκτα, 15 καὶ ἐκτρίψεις τὸν λαὸν
τȣ̃τον ὡσεὶ ἄνθρωπον ἕνα, καὶ ἐρȣ̃σιν τὰ ἔθνη
ὅσοι ἀκηκόασιν τὸ ὄνομά σȣ λέγοντες· 16 παρὰ
τὸ μὴ δύνασθαι κύριον εἰσαγαγεῖν αὐτȣ̀ς τὸν
λαὸν τȣ̃τον εἰς τὴν γῆν ἣν ὤμοσεν αὐτοῖς, κατ-
έστρωσεν q) αὐτȣ̀ς ἐν τῇ ἐρήμῳ· 17 καὶ νῦν, ὑψω-
θήτω κύριε ἡ χείρ σȣ· ὃν τρόπον εἶπας λέ-
γων· 18 κύριος μακρόθυμος καὶ πολυέλεος καὶ
ἀληθινός· ἀφαιρῶν ἀνομίας καὶ ἀδικίας, καὶ
ἁμαρτίας· καὶ καθαρισμῷ ȣ̓ καθαριεῖ τὸν ἔνο-
χον· ἀποδιδȣ̀ς ἁμαρτίας πατέρων ἐπὶ τέκνα,
ἕως τρίτης καὶ τετάρτης γενεᾶς· 19 ἄφες τὴν
ἁμαρτίαν τῷ λαῷ τȣ́τῳ, κατὰ τὸ μέγα ἔλεός
σȣ· καθάπερ ἵλεως αὐτοῖς ἐγένȣ ἀπ᾽ Αἰγύπτȣ
ἕως τȣ̃ νῦν· 20 καὶ εἶπεν κύριος πρὸς Μωϋσῆν· ἵλε
ως αὐτοῖς εἰμὶ κατὰ τὸ ῥῆμά σȣ· 21 ἀλλὰ ζῶ
ἐγὼ, καὶ ζῶν τὸ ὄνομά μȣ, καὶ ἐμπλήσει ἡ
δόξα κυρίȣ πᾶσαν τὴν γῆν, 22 ὅτι πάντες οἱ ἄν-
δρες οἱ ὁρῶντες τὴν δόξαν μȣ, καὶ τὰ σημεῖα ἃ
ἐποίησα

q) CH τὴν λέξιν ἅπαξ ἐνταῦθα εἰρημένην, ἣν ἀνήνεγκεν ὁ ἀπόστολος ἐν τῇ πρὸς κορινθίȣς Α ἐπιστολῇ.

ἐποίησα ἐν Αἰγύπτῳ, καὶ ἐν τῇ ἐρήμῳ ταύτῃ,
καὶ ἐπείρασάν με τȣ̃το δέκατον, καὶ ȣ̓κ εἰσ-
ήκȣσάν μȣ τῆς φωνῆς· [23] ἡμὴν ȣ̓κ ὄψονται τὴν
γῆν ἣν ὤμοσα τοῖς πατράσιν αὐτῶν, ἀλλὴ τὰ
τέκνα αὐτῶν ἃ ἐςὶν μετ᾽ ἐμȣ̃ ὧδε, ὅσοι ȣ̓κ οἴ-
δασιν ἀγαθὸν r) ἢ κακόν· πᾶς νεώτερος ἄπει-
ρος, τȣ́τοις δώσω τὴν γῆν· πάντες δὲ, * οἱ παρ- *136
οξύναντές με, ȣ̓κ ὄψονται αὐτήν· [24] ὁ δὲ παῖς
μȣ Χαλὲβ, ὅτι ἐγενήθη πνεῦμα ἕτερον ἐν αὐ-
τῷ, καὶ ἐπηκολȣ́θησέν μοι, καὶ εἰσάξω αὐτὸν
εἰς τὴν γῆν, εἰς ἣν εἰσῆλθεν ἐκεῖ· καὶ τὸ σπέρ-
μα αὐτȣ̃ κληρονομήσει αὐτήν· [25] ὁ δὲ Ἀμαλὴκ
καὶ ὁ Χαναναῖος, κατοικȣ̃σιν ἐν τῇ κοι-
λάδι· αὔριον ἐπιςράφητε καὶ ἀπάρατε
ὑμεῖς εἰς τὴν ἔρημον ὁδὸν θάλασσαν
ἐρυθράν· [26] καὶ εἶπεν κύριος πρὸς Μωϋσὴν
Καὶ Ἀαρὼν λέγων· [27] ἕως τίνος τὴν συναγωγὴν τὴν
πονηρὰν ταύτην, ἃ αὐτοὶ γογγύζȣσιν ἐναντίον
μȣ τὴν γόγγυσιν τῶν υἱῶν Ἰσραὴλ, ἣν ἐγόγγυ-
σαν περὶ ὑμῶν ἀκήκοα· [28] εἶπον αὐτοῖς, ζῶ
ἐγὼ λέγει κύριος· ἡμὴν ὃν τρόπον λελαλήκατε εἰς
τὰ ὦτά μȣ, ȣ̔́τως ποιήσω ὑμῖν [29] ἐν τῇ ἐρήμῳ
ταύτῃ πεσεῖται τὰ κῶλα ὑμῶν καὶ πᾶσα ἡ
ἐπισκοπὴ ὑμῶν, καὶ οἱ κατηριθμημένοι ὑμῶν
ἀπὸ εἰκοσαετȣ̃ς καὶ ἐπάνω, ὅσοι ἐγόγγυσαν ἐπ᾽
ἐμοὶ, [30] εἰ ὑμεῖς εἰσελεύσεσθε εἰς τὴν γῆν, ἐφ᾽
ἣν ἐξέτεινα τὴν χεῖρά μȣ κατασκηνῶσαι ὑμᾶς
ἐπ᾽ αὐτῆς· ἀλλὴ Χαλὲβ υἱὸς Ἰεφονή· καὶ
Ἰησȣ̃ς ὁ τȣ̃ Ναυὴ [31] καὶ τὰ παιδία ἃ εἴπατε
D 3 εἰς

r) καὶ τȣ̃το τύπος τῆς ἀληθείας, ἐὰν μὴ ςραφέντες γένεσθε ὡς τὰ νήπια ταῦτα, ȣ̓ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν ȣ̓ρανῶν.

εἰς διαρπαγὴν πέσεσθε· εἰσάξω αὐτὲς εἰς τὴν
γῆν καὶ κληρονομήσεσιν τὴν γῆν, ἣν ἀφῆς
ὑμεῖς ἀπέςητε ἀπ᾽ αὐτῆς, 32 καὶ τὰ κῶλα ὑμῶν
πεσεῖται ἐν τῇ ἐρήμῳ ταύτῃ· 33 οἱ δὲ υἱοὶ ὑμῶν
ἔσονται νεμόμενοι ἐν τῇ ἐρήμῳ τεσσεράκοντα ἔτη,
καὶ ἀνοίσεσιν τὴν πορνείαν ὑμῶν, ἕως ἂν ἀνα-
λωθῇ τὰ κῶλα ὑμῶν ἐν τῇ ἐρήμῳ 34 κατὰ τὸν
ἀριθμὸν τῶν ἡμερῶν, ὅσας κατεσκέψασθε τὴν
γῆν· τεσσεράκοντα ἡμέρας, ἡμέραν τȣ̃ ἐνιαυ-
τȣ̃, λήψεσθε τὰς ἁμαρτίας ὑμῶν, τεσσεράκον-
τα ἔτη· καὶ γνώσεσθε τὸν θυμὸν τῆς ὀρ-
*137 γῆς μȣ, 35 ἐγὼ κύριος ἐλάλησα· ἠμὴν ὅτως *
ποιήσω τῇ συναγωγῇ τῇ πονηρᾷ ταύτῃ τῇ ἐπι-
συνεςαμένῃ ἐπ᾽ ἐμὲ, ἐν τῇ ἐρήμῳ ταύτῃ ἐξανα-
λωθήσονται καὶ ἐκεῖ ἀποθανȣ̃νται· 36 καὶ οἱ
ἄνθρωποι ὃς ἀπέςειλεν Μωϋσῆς κατασκέψασθαι
τὴν γῆν, καὶ παραγενηθέντες διεγόγγυσαν κατ᾽
αὐτῆς πρὸς τὴν συναγωγὴν, ἐξενέγκαι ῥήματα
πονηρὰ περὶ τῆς γῆς· 37 καὶ ἀπέθανον οἱ ἄν-
θρωποι οἱ κατείπαντες s) κατὰ τῆς γῆς πονηρὰ
ἔναντι κυρίȣ· 38 καὶ Ἰησȣ̃ς υἱὸς Ναυὴ καὶ Χα-
λὲβ᾽ υἱὸς Ἰεφοννὴ t), ἔζησαν ἀπὸ τῶν ἀν-
θρώπων ἐκείνων τῶν πεπορευμένων κατα-
σκέψασθαι τὴν γῆν· 39 καὶ ἐλάλησεν Μωϋσῆς
KB Τὰ ῥήματα ταῦτα πρὸς πάντας υἱὲς Ἰσραὴλ,
καὶ ἐπένθησεν ὁ λαὸς σφόδρα· 40 καὶ ὀρθρί-
σαντες τὸ πρωῒ, ἀνέβησαν ἐπὶ τὴν κορυφὴν τȣ̃
ὄρȣς

s) AK. οἱ ἐξενέγκαντες διαβολήν.
t) ἐν τῇ πληγῇ.

KB ΠΕΡΙ ΤΩΝ ΔΕΙΧΑ ΠΡΟΣΤΑΓΜΑΤΟΣ ΘΥ ΕΞΕΛΘΟΝΤΩΝ ΕΙΣ ΠΟΛΕΜΟΝ ΚΑΙ ΑΝΑΙΡΕΘΕΝΤΩΝ.

ὄρȣς λέγοντες· ἰδȣ̀ οἵδε ἡμεῖς ἀναβησό-
μεθα εἰς τὸν τόπον ὃν εἶπεν κύριος, ὅτι
ἡμάρτομεν· 41 καὶ εἶπεν Μωϋσῆς, ἵνατί ὑμεῖς
Παραβαίνετε τὸ ῥῆμα κυρίȣ, ȣ̓κ εὔοδα ἔςαι ὑμῖν,
42 μὴ ἀναβαίνετε· ȣ̓ γάρ ἐςιν κύριος μεθ' ὑμῶν,
καὶ ȣ̓ πέσειϑαι πρὸ προσώπȣ τῶν ἐχθρῶν ὑμῶν·
43 ὅτι Ἀμαλὴκ καὶ οἱ Χαναναίοι ἐκεῖ ἔμπροσθεν
ὑμῶν, καὶ πεσεῖσθε μαχαίρᾳ, ȣ̔̃ εἵνεκεν ἀπε-
ςράφητε ἀπειθȣ̃ντες κυρίῳ, καὶ ȣ̓κ ἔςιν κύριος
ἐν ὑμῖν· 44 καὶ διαβιασάμενοι, ἀνέβησαν ἐπὶ
τὴν κορυφὴν τȣ̃ ὄρȣς· ἡ δὲ κιβωτὸς τῆς διαθήκης κυ-
ρίȣ, καὶ Μωϋσῆς, ȣ̓κ' ἐκινήθησαν ἐκ τῆς παρεμβολῆς·
45 Κατέβη δὲ ὁ Ἀμαλὴκ καὶ ὁ Χαναναῖος, ὁ ἐγκαθ-
ήμενος ἐν τῷ ὄρει ἐκείνῳ, καὶ ἐτρέψαντο u)
αὐτȣ̀ς, καὶ κατέκοψαν αὐτȣ̀ς ἕως Ἑρμὰ, καὶ
ἀπεςράφησαν εἰς τὴν παρεμβολήν· ΚΖ
XV. 1 Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν λέγων· ΚΓ
2 λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐ-
τȣ̀ς· ὅτ' ἂν εἰσέλθητε εἰς τὴν γῆν τῆς κατοική-
σεως ὑμῶν, ἣν ἐγὼ * δίδωμι ὑμῖν, 3 καὶ ποιή- *138
σητε καρπώματα κυρίῳ, ὁλοκαύτωμα, ἢ θυ-
σίαν, μεγαλῦναι εὐχὴν, ἢ καθεκȣ́σιον, ἢ ἐν
ταῖς ἑορταῖς ὑμῶν, ποιῆσαι ὀσμὴν εὐωδίας κυ-
ρίῳ· εἰ μὲν ἀπὸ τῶν βοῶν, ἢ ἀπὸ τῶν προ-
βάτων, 4 καὶ προσοίσει ὁ προσφέρων τὸ δῶρον
αὐτȣ̃ κυρίῳ, θυσίαν σεμιδάλεως, δέκατον τȣ̃ οἰ-
φὶ πεφυραμένης ἐν τετάρτῳ τȣ̃ ἲν, ἐλαίῳ· 5 καὶ
οἶνον εἰς σπονδὴν, τὸ τέταρτον τȣ̃ ἲν, ποιήσεται
ἐπὶ τῆς ὁλοκαυτώσεως, ἢ ἐπὶ τῆς θυσίας, τῷ



u) ἀπώσαντο.

ΚΓ ΠΕΡΙ ΘΥΣΙΩΝ ΝΟΜΟΣ.

ἀμνῷ τῷ ἑνὶ ποιήσει τοσοῦτο, κάρπωμα ὀσμὴν
εὐωδίας τῷ κυρίῳ· 6 καὶ τῷ κριῷ, ὅτ' ἂν ποιῆτε
αὐτὸν εἰς ὁλοκαύτωμα, ἢ εἰς θυσίαν σεμιδά-
λεως, δύο δέκατα ἀναπεφυραμένης ἐν ἐλαίῳ,
τὸ τρίτον τοῦ ἵν, 7 καὶ οἶνον εἰς σπονδὴν, τὸ
τρίτον τοῦ ἵν, προσοίσετε εἰς ὀσμὴν εὐωδίας κυ-
ρίῳ· 8 ἐὰν δὲ ποιήσητε ἀπὸ τῶν βοῶν εἰς ὁλο-
καύτωσιν, ἢ εἰς θυσίαν μεγαλῦναι εὐχὴν, ἢ
εἰς σωτήριον κυρίῳ· 9 καὶ προσοίσει ἐπὶ τοῦ μό-
σχου θυσίαν σεμιδάλεως, τρία δέκατα ἀναπε-
φυραμένης ἐν ἐλαίῳ· ἥμισυ τοῦ ἵν, 10 καὶ οἶνον
εἰς σπονδὴν, τὸ ἥμισυ τοῦ ἵν, κάρπωμα ὀσμὴν
εὐωδίας κυρίῳ· 11 οὕτως ποιήσεις τῷ μόσχῳ τῷ
ἑνὶ, ἢ τῷ ἀμνῷ τῷ ἑνὶ, ἐκ τῶν προβάτων, ἢ
ἐκ τῶν αἰγῶν, 12 κατὰ τὸν ἀριθμὸν, ὃν ἂν ποιή-
σητε, οὕτως ποιήσετε τῷ ἑνὶ κατὰ τὸν ἀριθμὸν
αὐτῶν· 13 πᾶς ὁ αὐτόχθων x) ποιήσει οὕτως, τοιαῦ-
τα προσενέγκαι καρπώματα εἰς ὀσμὴν εὐωδίας
κυρίῳ· 14 ἐὰν δὲ προσήλυτος ἐν ὑμῖν προσγέ
νηται ἐν τῇ γῇ ὑμῶν, ἢ ὃς ἂν γένηται ἐν ὑμῖν
ἐν ταῖς γενεαῖς ὑμῶν, καὶ ποιήσῃ κάρπωμα
ὀσμὴν εὐωδίας κυρίῳ, ὃν τρόπον ποιῆτε ὑμεῖς,
οὕτως ποιήσει καὶ ὁ προσήλυτος, καὶ ἡ συνα-
γωγὴ κυρίῳ· 15 νόμος εἷς ὑμῖν, καὶ τοῖς προση-
*139 λύτοις τοῖς προσ*κειμένοις ἐν ὑμῖν, νόμος αἰώ-
νιος εἰς τὰς γενεὰς ὑμῶν· ὡς ὑμεῖς καὶ ὁ προσ-
CH ἤλυτος ἔσται· 16 καὶ δικαίωμα ἓν ἔσται ὑμῖν,
καὶ τῷ προσηλύτῳ τῷ προσκειμένῳ ἐν
ὑμῖν· 17 καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν
λέγων· 18 λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς
αὐτούς· ἐν τῷ εἰσπορεύεσθαι ὑμᾶς εἰς τὴν γῆν,
εἰς

x) ὁ ἐγχώριος.

εἰς ἣν ἐγὼ εἰσάγω ὑμᾶς ἐκεῖ· 19 καὶ ἔσται ὅτ᾽ ἂν
ἔσθητε ὑμεῖς ἀπὸ τῶν ἄρτων τῆς γῆς, ἀφελεῖ-
τε ἀφαίρεμα ἀφόρισμα τῷ κυρίῳ, ἀπαρχὴν
φυράματος ὑμῶν 20 ἄρτον, ἀφαίρεμα ἀφοριεῖτε
αὐτὸ, ὡς ἀφαίρεμα ἀπὸ ἅλωνος, οὕτως ἀφελεῖτε
αὐτὸν, 12 ἄρτον ἀπαρχὴν φυράματος ὑμῶν· καὶ
δώσετε κυρίῳ ἀφαίρεμα εἰς τὰς γενεὰς
ὑμῶν· 22 ὅτ᾽ ἂν δὲ διαμάρτητε, καὶ μὴ ποιήσητε
πάσας τὰς ἐντολὰς ταύτας, ἃς ἐλάλησεν κύ-
ριος πρὸς Μωϋσῆν, 23 καθὰ συνέταξεν κύριος
ὑμῖν ἐν χειρὶ Μωϋσῆ, ἀπὸ τῆς ἡμέρας ἧς
συνέταξεν κύριος πρὸς ὑμᾶς, καὶ ἐπέκεινα εἰς
τὰς γενεὰς ὑμῶν· 24 καὶ ἔσται ἐὰν ἐξ ὀφθαλμῶν
Τῆς συναγωγῆς γενηθῇ ἀκουσίως, καὶ ποιήσῃ πᾶ-
σα ἡ συναγωγὴ μόσχον ἕνα ἐκ βοῶν ἄμωμον
εἰς ὁλοκαύτωμα, εἰς ὀσμὴν εὐωδίας κυρίῳ· καὶ
θυσίαν τούτου καὶ σπονδὴν αὐτοῦ, κατὰ τὴν
σύνταξιν αὐτοῦ· καὶ χίμαῤῥον ἐξ αἰγῶν ἕνα πε-
ρὶ ἁμαρτίας· 25 καὶ ἐξιλάσεται ὁ ἱερεὺς περὶ
πάσης συναγωγῆς υἱῶν Ἰσραήλ· καὶ ἀφεθήσεται
αὐτοῖς, ὅτι ἀκούσιόν ἐστιν· καὶ αὐτοὶ ἤνεγκαν τὸ
δῶρον αὐτῶν, κάρπωμα κυρίῳ περὶ τῆς ἁμαρ-
τίας αὐτῶν ἔναντι κυρίου, περὶ τῶν ἀκουσίων αὐ-
τῶν, 26 καὶ ἀφεθήσεται πάσῃ συναγωγῇ υἱῶν
Ἰσραήλ· καὶ τῷ προσηλύτῳ τῷ προσπορευομέ-
νῳ πρὸς ὑμᾶς, ὅτι παντὶ τῷ λαῷ ἀκού-
σιον· 27 ἐὰν δὲ ψυχὴ μία ἁμάρτῃ ἀκουσίως,
Προσάξει αἶγα μίαν ἐνιαυσίαν περὶ ἁμαρτίας*, *140
28 καὶ ἐξιλάσεται ὁ ἱερεὺς περὶ τῆς ψυχῆς, τῆς
ἀκουσιασθείσης, καὶ ἁμαρτούσης ἀκουσίως ἔναντι
κυρίου, ἐξιλάσασθαι περὶ αὐτοῦ, καὶ ἀφεθήσε-
ται αὐτῷ 29 τῷ ἐγχωρίῳ ἐν υἱοῖς Ἰσραὴλ, καὶ

τῷ προσηλύτῳ τῷ προσκειμένῳ ἐν αὐτοῖς, νόμος
εἷς ἔσαι αὐτοῖς· ὃς ἂν ποιήσῃ ἀκουσίως [30] καὶ
ψυχὴ ἥτις ποιήσει ἐν χειρὶ ὑπερηφανείας y) ἀπὸ
τῶν αὐτοχθόνων, ἢ ἀπὸ τῶν προσηλύτων τὸν
θεὸν οὗτος παροξυνεῖ, καὶ ἐξωλοθρευθήσεται ἡ
ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ αὐτῆς, [31] ὅτι τὸ ῥῆμα
κυρίου ἐφαύλισεν καὶ τὰς ἐντολὰς αὐτοῦ διε-
σκέδασεν· ἐκτρίψει ἐκτριβήσεται ἡ ψυ-
ΚΗ χὴ ἐκείνη, ἡ ἁμαρτία αὐτῆς ἐν αὐτῇ z).
ΚΔ [32] Καὶ ἦσαν οἱ υἱοὶ Ἰσραὴλ ἐν τῇ ἐρήμῳ, καὶ εὗρον
ἄνδρα συλλέγοντα ξύλα τῇ ἡμέρᾳ τοῦ σαββά-
του, [33] καὶ προσήγαγον αὐτὸν οἱ εὑρόντες αὐτὸν
συλλέγοντα ξύλα τῇ ἡμέρᾳ τοῦ σαββάτου, πρὸς
Μωϋσῆν καὶ Ἀαρὼν, καὶ πρὸς πᾶσαν συναγω-
γὴν υἱῶν Ἰσραήλ· [34] καὶ ἀπέθεντο αὐτὸν εἰς φυ-
λακὴν, οὐ γὰρ συνέκριναν τί ποιήσωσιν
αὐτόν· [35] καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν
λέγων· θανάτῳ θανατούσθω ὁ ἄνθρωπος· λι-
θοβολήσατε αὐτὸν λίθοις πᾶσα ἡ συναγω-
γή· [36] καὶ ἐξήγαγον αὐτὸν πᾶσα ἡ συνα-
γωγὴ, ἔξω τῆς παρεμβολῆς, καὶ ἐλιθο-
βόλησαν αὐτὸν πᾶσα ἡ συναγωγὴ λί-
θοις καθὰ ἐλάλησεν κύριος πρὸς Μωϋσήν·
[37] Καὶ

ΚΔ. ΠΕΡΙ ΤΟΥ CΥΛΛΕΓΟΝΤΟC ΞΥΛΑ ΕΝ CΑΒ-
ΒΑΤΩ.

y) τουτέσιν ἑκουσίως.

z) Ὃ λέγει παῦλος ἐν τῇ πρὸς Ἑβραίους, ἑκουσίως γὰρ ἁμαρ-
τανόντων ἡμων, οὐκέτι περὶ ἁμαρτιῶν ἀπολείπεται θυσία·
τοῦτο δὲ νοητέον περὶ τῶν εἰς αὐτὸ τὸ θεῖον σέβας. Τινῶν
τῶν ἁμαρτημάτων, ὡς εὐθέως τὸ ἐπισυνηγμένον ἁμάρτημα,
τὸ περὶ τῆς συλλογῆς τῶν ἐν σαββάτῳ ξύλων δηλοῖ, ἃ
καὶ ἐν χειρὶ ὑπερηφανείας φησὶν ἁμαρτάνεσθαι, καὶ οὐχὶ περὶ
τῶν ἀνθρωπίνων, ὡς ἄνω σεσημείωται, μετὰ πέντε φύλλα
τῆς ἀρχῆς.

37 Καὶ εἶπεν κύριος πρὸς Μωϋσῆν λέγων· 38 λάλησον ΚΘ
τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτὺς· καὶ
ποιησάτωσαν ἑαυτοῖς, κράσπεδα ἐπὶ τὰ πτερύ-
για τῶν ἱματίων αὐτῶν εἰς τὰς γενεὰς αὐτῶν·
καὶ ἐπιθήσετε ἐπὶ τὰ κράσπεδα τῶν πτερυγίων,
κλῶσμα ὑακίνθινον, 39 καὶ ἔςαι ὑμῖν ἐν τοῖς
κρασπέδοις, καὶ ὄψεσθε αὐτὰ, καὶ μνησθήσεσθε
πασῶν τῶν ἐντολῶν κυρίυ, καὶ ποιήσετε αὐτὰς,
καὶ ὐ διαςραφήσεσθε,* ὀπίσω τῶν διανοιῶν* 141
ὑμῶν, καὶ ὀπίσω τῶν ὀφθαλμῶν ὑμῶν, ἐν οἷς
ὑμεῖς ἐκπορνεύετε ὀπίσω αὐτῶν, 40 ὅπως ἂν μνη-
σθῆτε, καὶ ποιήσητε πάσας τὰς ἐντολάς μυ, καὶ
ἔσεσθε ἅγιοι τῷ θεῷ ὑμῶν, 41 ἐγὼ κύριος ὁ
θεὸς ὑμῶν, ὁ ἐξαγαγὼν ὑμᾶς ἐκ γῆς Αἰγύπτυ
εἶναι ὑμῶν θεὸς, ἐγὼ κύριος ὁ θεὸς ὑμῶν·
XVI. 1 Καὶ ἐλάλησεν Κορὲ υἱὸς Ἰσσαὰρ a) υἱῦ Καὰθ' ΚΕ
υἱῦ Λευὶ, καὶ Δαθὰν, καὶ Ἀβειρὼν, υἱῦ Ἐλιὰβ' Λ
καὶ Αὐνὰν, υἱὸς Φαλὲθ' υἱῦ Ῥυβήν· 2 καὶ ἀνέ-
ςησαν ἔναντι Μωϋσῆ, καὶ ἄνδρες τῶν υἱῶν Ἰσραὴλ
πεντήκοντα καὶ διακόσιοι ἀρχηγοὶ συναγωγῆς
σύγκλητοι βυλῆς, καὶ ἄνδρες ὀνομαςοὶ, 3 συν-
έςησαν ἐπὶ Μωϋσὴν καὶ Ἀαρὼν, καὶ εἶπαν πρὸς
αὐτὺς· ἐχέτω b) ὑμῖν, ὅτι πᾶσα ἡ συνα-
γωγὴ, πάντες ἅγιοι καὶ ἐν αὐτοῖς κύ-
ριος· καὶ διατί κατανίςασθε ἐπὶ τὴν συνα-
γωγὴν κυρίυ· 4 καὶ ἀκύσας Μωϋσῆς, ἔπεσεν
Ἐπὶ πρόσωπον, 5 καὶ ἐλάλησεν πρὸς Κορὲ, καὶ
πρὸς

ΚΕ ΠΕΡΙ ΤΗϹ ΕΠΑΝϹΤΑϹΕΩϹ ΤΗϹ ΚΑΤΑ ΜΩΥϹΗ ΠΑΡΑ ΤΗϹ ΚΟΡΕ ϹΥΝΑΓΩΓΗϹ.

a) ἀνεψιὸς αὐτῶν ἠν. Ἄμβραν γὰρ κϛ' Ἰσσάαρ, ἀδελφοὶ υἱοὶ Καὰθ υἱῦ Λευϊ, ὡς τῆς Ἐξόδυ το ν̄.

b) ΑΚ. ΘΕ. πολυ ὑμῖν. ϹΥ. ἀρκείτω.

πρὸς πᾶσαν αὐτȣ̃ τὴν συναγωγὴν λέγων· ἐπέ-
σκεπται καὶ ἔγνω ὁ θεὸς τȣ̀ς ὄντας c) αὐτȣ̃,
καὶ τȣ̀ς ἁγίȣς προσηγάγετο πρὸς ἑαυτὸν, καὶ
ȣ̔̀ς ȣ̓κ ἐξελέξατο ἑαυτῷ, ȣ̓ προσηγάγετο πρὸς
ἑαυτόν· [6] τȣ̃το ȣ̔́τως ποιήσατε· λάβετε ὑμῖν ἑαυ-
τοῖς, πυρεία Κόρε καὶ πᾶσα ἡ συναγωγὴ αὐτȣ̃,
[7] καὶ ἐπίθετε ἐπ᾽ αὐτὰ πῦρ, καὶ ἐπίθετε ἐπ᾽
αὐτὰ θυμίαμα ἔναντι κυρίȣ αὔριον· καὶ ἔςαι ὁ
ἀνὴρ ὃν ἂν ἐκλέξηται κύριος, ȣ̔̃τος ἅγιος· ἱκανȣ́-
σθω ὑμῖν οἱ υἱοὶ Λευΐ· [8] καὶ εἶπεν Μωϋσῆς πρὸς
Κόρε· εἰσακȣ́σατέ μȣ υἱοὶ Λευΐ, [9] μὴ μικρόν ἐςιν
τȣ̃το ὑμῖν, ὅτι διέςειλεν ὑμᾶς ὁ θεὸς Ἰσραὴλ,
ἐκ συναγωγῆς Ἰσραὴλ, καὶ προσηγάγετο ὑμᾶς
πρὸς ἑαυτὸν, λειτȣργεῖν τὰς λειτȣργίας τῆς σκη-
νῆς κυρίȣ, καὶ παρίςασθε ἔναντι τῆς συναγωγῆς
*142 λατρεύειν αὐτῷ, [10] καὶ προσ*ηγάγετό σε, καὶ
πάντας τȣ̀ς ἀδελφȣ́ς σȣ υἱȣ̀ς Λευΐ μετὰ σȣ̃·
καὶ ζητεῖτε ἱερατεύειν [11] ȣ̔́τως, σὺ καὶ πᾶσα ἡ
συναγωγή σȣ, ἡ συνηθροισμένη πρὸς τὸν θεόν·
καὶ Ἀαρὼν τίς ἐςιν, ὅτι διαγογγύζετε κατ᾽ αὐ-
τȣ̃· [12] καὶ ἀπέςειλεν Μωϋσῆς καλέσαι Δαθὰν,
καὶ Ἀβειρὼν, υἱȣ̀ς Ἐλιάβ᾽ καὶ εἶπαν· ȣ̓κ ἀνα-
βαίνομεν· [13] μὴ μικρὸν τȣ̃το, ὅτι ἀνήγαγες ἡμᾶς
εἰς γῆν ῥέȣσαν γάλα καὶ μέλι ἀποκτεῖναι ἡμᾶς
ἐν τῇ ἐρήμῳ, ὅτι κατάρχεις d) ἡμῶν [14] ἄρχων·
εἰ καὶ σὺ εἰς γῆν ῥέȣσαν γάλα καὶ μέλι εἰσή-
γαγες ἡμᾶς, καὶ ἔδωκας ἡμῖν κλῆρον ἀγρȣ̃ καὶ
ἀμπελῶνας· τȣ̀ς ὀφθαλμȣ̀ς τῶν ἀνθρώπων ἐκεί-
νων ἂν ἐξέκοψας, ȣ̓κ ἀναβαίνομεν· [15] καὶ ἐβαρυ-
θύμησεν Μωϋσῆς σφόδρα, καὶ εἶπεν πρὸς κύριον·
μὴ

c) ἀνήνεκται ἐν τῇ πρὸς τιμόθεον Β̄ παύλȣ ἐπιςολή.
d) CT. κατατυραννεῖς γὰρ ἡμῶν βιαίως.

μὴ πρόσχῃς εἰς τὴν θυσίαν αὐτῶν, οὐκ ἐπιθύ-
μημα e) οὐδενὸς παρ' αὐτῶν εἴληφα, οὐδὲ ἐκάκωσα
οὐδένα αὐτῶν· 16 καὶ εἶπεν Μωϋσῆς πρὸς Κόρε·
ἁγίασον f) τὴν συναγωγήν σου, καὶ γίνεσθε ἕτοι-
μοι ἔναντι κυρίου, σὺ καὶ αὐτοὶ, καὶ Ἀαρὼν αὔριον·
17 καὶ λάβετε ἕκαστος τὸ πυρεῖον αὐτοῦ, καὶ ἐπι-
θήσετε ἐπ' αὐτὰ θυμίαμα, καὶ προσάξετε ἔναν-
τι κυρίου, ἕκαστος τὸ πυρεῖον αὐτοῦ, πεντήκοντα
καὶ διακόσια πυρεῖα· καὶ σὺ καὶ Ἀαρὼν
ἕκαστος τὸ πυρεῖον αὐτοῦ· 18 καὶ ἔλαβεν ἕκαστος
πυρεῖον αὐτοῦ, καὶ ἐπέθηκαν ἐπ' αὐτὰ πῦρ, καὶ
ἐπέβαλον ἐπ' αὐτὰ θυμίαμα, καὶ ἔστησαν παρὰ
τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου Μωϋσῆς καὶ
Ἀαρών· 19 καὶ ἐπισυνέστησεν ἐπ' αὐτοὺς Κόρε τὴν
πᾶσαν αὐτοῦ συναγωγὴν παρὰ τὴν θύραν τῆς
σκηνῆς τοῦ μαρτυρίου· καὶ ὤφθη ἡ δόξα
κυρίου πάσῃ τῇ συναγωγῇ· 20 καὶ
ἐλάλησεν κύριος πρὸς Μωϋσῆν καὶ Α-
αρὼν λέγων· 21 ἀποσχίσθητε ἐκ μέσου τῆς συναγω-
γῆς ταύτης, καὶ ἐξαναλώσω αὐτοὺς εἰσάπαξ·
22 καὶ ἔπεσαν ἐπὶ πρόσωπον αὐτῶν, καὶ εἶπαν·
θεὸς * θεὸς τῶν πνευμάτων, καὶ πάσης *143
σαρκὸς, εἰ ἄνθρωπος εἷς ἥμαρτεν ἐπὶ
πᾶσαν τὴν συναγωγὴν ἡ ὀργὴ κυρίου·
23 Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν λέγων· 24 λάλησον
τῇ συναγωγῇ λέγων· ἀναχωρήσατε κύκλῳ ἀπὸ τῆς
συναγωγῆς Κόρε, καὶ Δαθὰν καὶ Ἀβειρών· 25 καὶ ἀνέ-
Cτη Μωϋσῆς, καὶ ἐπορεύθη πρὸς Δαθὰν καὶ Ἀβει-
ρὼν, καὶ συνεπορεύθησαν μετ' αὐτοῦ, πάντες οἱ
πρεσ-

e) AK. CT. δῶρον οὕτως εἶπεν καὶ ὁ σαμουήλ.

f) οὕτως καὶ ἄνω τὸ τὸ ΙΗ κεφάλαιον ἁγνίσασθε εἰσαύριον.

πρεσβύτεροι Ἰσραήλ· 26 καὶ ἐλάλησεν πρὸς τὴν
συναγωγὴν λέγων· ἀποσχίσθητε ἀπὸ τῶν σκη-
νῶν τῶν ἀνθρώπων τῶν σκληρῶν τούτων, καὶ
μὴ ἅπτεσθε ἀπὸ πάντων ὅσα ἐστὶν αὐτοῖς· μὴ
συναπόλησθε ἐν πάσῃ τῇ ἁμαρτίᾳ αὐτῶν· 27 καὶ
ἀπέστησαν ἀπὸ τῆς σκηνῆς Κορὲ κύκλῳ,
καὶ Δαθὰν καὶ Ἀβειρὼν, ἐξῆλθον, καὶ
εἱστήκεισαν παρὰ τὰς θύρας τῶν σκηνωμάτων
αὐτῶν· καὶ αἱ γυναῖκες αὐτῶν, καὶ τὰ
τέκνα αὐτῶν, καὶ ἡ ἀποσκευὴ αὐτῶν·
28 Καὶ εἶπεν Μωϋσῆς· ἐν τούτῳ γνώσεσθε, ὅτι κύριος
ἀπέστειλέν με ποιῆσαι πάντα τὰ ἔργα ταῦτα,
ὅτι οὐκ ἀπ᾽ ἐμαυτοῦ· 29 εἰ κατὰ θάνατον πάν-
των ἀνθρώπων ἀποθανοῦνται οὗτοι, εἰ καὶ κατ᾽
ἐπίσκεψιν πάντων ἀνθρώπων ἐπισκοπὴ ἔσται αὐ-
τῶν, οὐχὶ κύριος ἀπέσταλκέν με· 30 ἀλλ᾽ ἢ ἐν φάσ-
ματι δείξει κύριος, καὶ ἀνοίξασα ἡ γῆ τὸ στόμα
αὐτῆς, καταπίεται αὐτοὺς, καὶ τοὺς οἴκους αὐτῶν,
καὶ τὰς σκηνὰς αὐτῶν, καὶ πάντα ὅσα ἐστὶν αὐτοῖς·
καὶ καταβήσονται ζῶντες εἰς ᾅδου· καὶ γνώσεσθε
ὅτι παρώξυναν οἱ ἄνθρωποι οὗτοι τὸν κύριον·
31 Ὡς δὲ ἐπαύσατο λαλῶν πάντας τοὺς λόγους τού-
τους, ἐῤῥάγη ἡ γῆ ὑποκάτω τῶν ποδῶν αὐτῶν,
32 καὶ ἠνοίχθη ἡ γῆ καὶ κατέπιεν αὐτοὺς, καὶ τοὺς
οἴκους αὐτῶν, καὶ πάντας τοὺς ἀνθρώπους τοὺς ὄν-
*144 τας μετὰ Κορὲ, καὶ τὰ κτήνη αὐτῶν· 33 καὶ * κατ-
έβησαν αὐτοὶ, καὶ πάντα ὅσα ἐστὶν αὐτοῖς ζῶν-
τες εἰς ᾅδου, καὶ ἐκάλυψεν αὐτοὺς ἡ γῆ, καὶ
ἀπώλοντο ἐκ μέσου τῆς συναγωγῆς· 34 καὶ πᾶς
Ἰσραὴλ καὶ οἱ κύκλῳ αὐτῶν ἔφυγον ἀπὸ τῆς φωνῆς
αὐτῶν λέγοντες, μήποτε καταπίῃ ἡμᾶς ἡ γῆ·
35 καὶ πῦρ ἐξῆλθεν παρὰ κυρίου καὶ κατέφαγεν τοὺς

πεν-

πεντήκοντα καὶ διακοσίους ἄνδρας τοὺς προσφέρον-
τας τὸ θυμίαμα· 36 καὶ εἶπεν κύριος πρὸς Μωϋσὴν
37 Καὶ πρὸς Ἐλεάζαρ τὸν υἱὸν Ἀαρὼν τὸν ἱερέα· ἀνέ- KS
λεσθε τὰ πυρεῖα τὰ χαλκᾶ ἐκ μέσου τῶν κα-
τακεκαυμένων, καὶ τὸ πῦρ τὸ ἀλλότριον τοῦτο,
σπεῖρον ἐκεῖ, ὅτι ἡγίασαν τὰ πυρεῖα 38 τῶν ἁμαρ-
τωλῶν τούτων ἐν ταῖς ψυχαῖς αὐτῶν· καὶ ποίη-
σον αὐτὰ λεπίδας ἐλατὰς περίθεμα τῷ θυ-
σιαστηρίῳ, ὅτι προσηνέχθησαν ἔναντι κυρίου,
καὶ ἡγιάσθησαν καὶ ἐγένοντο εἰς σημεῖον ἐν τοῖς
υἱοῖς Ἰσραήλ· 39 καὶ ἔλαβεν Ἐλεάζαρ
Υἱὸς Ἀαρὼν τοῦ ἱερέως τὰ πυρεῖα τὰ χαλκᾶ, ὅσα
προσήνεγκαν οἱ κατακεκαυμένοι, καὶ προσέθη-
καν αὐτὰ περίθεμα τῷ θυσιαστηρίῳ, 40 μνημό-
συνον τοῖς υἱοῖς Ἰσραὴλ, ὅπως ἂν μὴ προσέλ-
θῃ μηδεὶς ἀλλογενὴς, ὃς οὐκ ἔστιν ἐκ τοῦ σπέρ-
ματος Ἀαρὼν, ἐπιθεῖναι θυμίαμα ἔναντι κυρίου·
καὶ οὐκ ἔσται ὥσπερ Κόρε, καὶ ἡ ἐπισύστασις αὐ-
τοῦ, καθὰ ἐλάλησεν κύριος ἐν χειρὶ Μωϋσῇ·
41 καὶ ἐγόγγυσαν οἱ υἱοὶ Ἰσραὴλ τῇ ἐπ-
αύριον ἐπὶ Μωϋσὴν καὶ Ἀαρὼν λέγον-
τες· ὑμεῖς ἀπεκτάνατε τὸν λαὸν κυρίου·
42 Καὶ ἐγένετο ἐν τῷ ἐπισυστρέφεσθαι τὴν συναγω-
γὴν ἐπὶ Μωϋσὴν καὶ Ἀαρὼν, καὶ ὥρμησαν ἐπὶ
τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ τήνδε ἐκάλυψεν
αὐτὴν ἡ νεφέλη, καὶ ὤφθη ἡ δόξα κυρίου, 43 καὶ
εἰσῆλθεν Μωϋσῆς καὶ Ἀαρὼν κατὰ πρόσωπον τῆς
σκηνῆς* τοῦ μαρτυρίου· 44 καὶ ἐλάλησεν κύριος πρὸς* 145
Μωϋ-

KS ΠΕΡΙ ΤΩΝ ΧΑΛΚΩΝ ΠΥΡΕΙΩΝ ΤΗΣ ΚΟΡΕ ΣΥΝΑΓΩΓΗΣ.

ΚΖ Μωϋσῆν καὶ Ἀαρὼν λέγων· 45 ἐκχωρήσατε ἐκ μέσου
τῆς συναγωγῆς ταύτης, καὶ ἐξαναλώσω αὐτοὺς
εἰσάπαξ· καὶ ἔπεσεν ἐπὶ πρόσωπον αὐτῶν,
46 καὶ εἶπεν Μωϋσῆς πρὸς Ἀαρών· λάβε τὸ πυ-
ρεῖον, καὶ ἐπίθες ἐπ' αὐτῷ πῦρ ἀπὸ τοῦ θυ-
σιαστηρίου, καὶ ἐπίβαλε ἐπ' αὐτῷ θυμίαμα,
καὶ ἀπένεγκε τὸ τάχος εἰς τὴν συναγωγήν·
καὶ ἐξήλασε περὶ αὐτῶν· ἐξῆλθεν γὰρ
ὀργὴ, ἀπὸ προσώπου κυρίου, ἤρκται θραύ-
ειν τὸν λαόν· 47 καὶ ἔλαβεν Ἀαρὼν κα
θάπερ ἐλάλησεν αὐτῷ Μωϋσῆς, καὶ ἔδραμεν εἰς
τὴν συναγωγὴν, καὶ ἤδη ἐνήρκτο ἡ θραῦσις ἐν
τῷ λαῷ, καὶ ἔλαβεν καὶ ἐπέβαλεν τὸ θυμία-
μα, καὶ ἐξηλάσατο περὶ τοῦ λαοῦ, 48 καὶ ἔστη
ἀναμέσον τῶν τεθνηκότων, καὶ τῶν ζώντων,
καὶ ἐκόπασεν ἡ θραῦσις· 49 καὶ ἐγένοντο οἱ τε-
θνηκότες ἐν τῇ θραύσει τέσσαρες καὶ δέκα χιλιά-
δες καὶ ἑπτακόσιοι, χωρὶς τῶν τεθνηκότων ἕνε-
κεν Κόρε· 50 καὶ ἐπέστρεψεν Ἀαρὼν πρὸς Μωϋσῆν
ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ ἐκό-
πασεν ἡ θραῦσις·

ΚΗ XVII. 1 Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν λέγων·
2 λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ λάβε παρ' αὐ-
τῶν ῥάβδον, ῥάβδον κατ' οἴκους πατριῶν αὐτῶν,
παρὰ πάντων τῶν ἀρχόντων αὐτῶν, κατ' οἴκους
πατριῶν αὐτῶν, δώδεκα ῥάβδους, καὶ ἑκάστου τὸ
ὄνομα αὐτοῦ, ἐπίγραψον ἐπὶ τῆς ῥάβδου αὐτοῦ·
3 καὶ

ΚΖ ΠΕΡΙ ΤΟΥ ΠΩΣ ΑΠΕΘΑΝΟΝ ΕΚ ΤΟΥ ΛΑΟΥ ΙΔ ΧΙΛΙΑΔΕΣ ΤΩΝ ΠΡΟΣ ΕΠΑΝΑΣΤΑΝ ΤΩΝ ΚΑΤΑ ΜΩΥΣΗ ΚΑΙ ΑΑΡΩΝ.

ΚΗ ΠΕΡΙ ΤΗΣ ΡΑΒΔΟΥ ΑΑΡΩΝ ΤΗΣ ΒΛΑΣΤΗΣΑΣΗΣ.

³καὶ τὸ ὄνομα Ἀαρὼν ἐπίγραψον ἐπὶ τῆς ῥάβδȣ
Λευὶ, ἔςιν γὰρ ῥάβδος μία, κατὰ φυλὴν οἴκȣ
πατριῶν αὐτῶν δώσȣσιν, ⁴καὶ θήσεις αὐτὰς ἐν
τῇ σκηνῇ τȣ̃ μαρτυρίȣ, κατέναντι τȣ̃ μαρτυρίȣ,
ἐν οἷς γνωσθήσομαί σοι ἐκεῖ· ⁵καὶ ἔςαι ὁ ἄν-
θρωπος ὃν ἂν ἐκλέξωμαι αὐτὸν, ἡ ῥάβδος αὐ-
τȣ̃ ἐκβλαςήσει· καὶ περιελῶ ἀπὸ *σȣ̃ τὸν γογ- *146
γυσμὸν υἱῶν Ἰσραὴλ, ὅσα αὐτοὶ γογγύζȣσιν
ἐφ' ὑμῖν· ⁶καὶ ἐλάλησεν Μωϋσῆς τοῖς υἱοῖς Ἰσ-
ραὴλ, καὶ ἔδωκαν αὐτῷ πάντες οἱ ἄρχοντες αὐ-
τῶν ῥάβδον· τῷ ἄρχοντι τῷ ἑνὶ ῥάβδον κατὰ
ἄρχοντα, κατ' οἴκȣς πατριῶν αὐτῶν, δώδεκα
ῥάβδȣς, καὶ ἡ ῥάβδος Ἀαρὼν, ἀναμέσον τῶν
ῥάβδων αὐτῶν· ⁷καὶ ἀπέθηκεν Μωϋσῆς τὰς ῥά-
βδȣς ἔναντι κυρίȣ ἐν τῇ σκηνῇ τȣ̃ μαρτυρίȣ·
⁸καὶ ἐγένετο τῇ ἐπαύριον καὶ εἰσῆλθεν Μωϋσῆς
καὶ Ἀαρὼν εἰς τὴν σκηνὴν τȣ̃ μαρτυρίȣ· καὶ ἰδȣ̀
ἐβλάςησεν ἡ ῥάβδος ἡ Ἀαρὼν, εἰς οἶκον Λευὶ καὶ
ἐξήνεγκεν βλαςόν· καὶ ἐξήνθησεν ἄνθη, καὶ ἐξήν-
θησεν κάρυα g), ⁹καὶ ἐξήνεγκεν Μωϋσῆς πάσας
τὰς ῥάβδȣς, ἀπὸ προσώπȣ κυρίȣ, πρὸς πάντας
υἱȣ̀ς Ἰσραήλ· καὶ ἴδον καὶ ἔλαβον ἕκαςος τὴν ῥά-
βδον αὐτȣ̃· ¹⁰καὶ εἶπεν κύριος πρὸς Μωϋσῆν·
Ἀπόθες τὴν ῥάβδον Ἀαρὼν, ἐνώπιον τῶν μαρτυ-
ριῶν, εἰς διατήρησιν εἰς σημεῖον τοῖς υἱοῖς τῶν
ἀνηκόων, καὶ παυσάσθω ὁ γογγυσμὸς αὐτῶν CH OMS
ἀπ' ἐμȣ̃, καὶ ȣ̓ μὴ ἀποθάνωσιν· ¹¹καὶ ἐποίη-
σεν Μωϋσῆς καὶ Ἀαρὼν, ὅσα συνέταξεν κύριος
τῷ Μωϋσῇ, ȣ̃τως ἐποίησαν· ¹²καὶ εἶπαν οἱ υἱοὶ
Ἰσραὴλ πρὸς Μωϋσῆν λέγοντες· ἰδȣ̀ ἐξανηλώμεθα,
ἀπο-

g) οἱ Λ. ἀμύγδαλα.

ἀπολώλαμεν παρανηλώμεθα. 13 πᾶς ὁ ἁπτό-
μενος τῆς σκηνῆς κυρίου ἀποθνήσκει ἕως εἰς
τέλος ἀπεθάνωμεν. XVIII. 1 καὶ εἶπεν κύριος
πρὸς Ἀαρὼν λέγων· σὺ καὶ οἱ υἱοί σου καὶ ὁ
οἶκος τοῦ πατρός σου μετὰ σοῦ λήψεσθαι h) τὰς
ἀπαρχὰς τῶν ἁγίων, καὶ σὺ καὶ οἱ υἱοί σου λή-
ψεσθαι τὰς ἁμαρτίας i) τῆς ἱερατείας ὑμῶν·
2 καὶ τοὺς ἀδελφούς σου φυλὴν Λευὶ, δῆμον τοῦ
*147 πατρός σου προσαγάγου πρὸς * ἑαυτὸν, καὶ
προστεθήτωσάν σοι, καὶ λειτουργήτωσαν σοι,
καὶ σὺ καὶ οἱ υἱοί σου μετὰ σοῦ, ἀπέναντι τῆς
σκηνῆς τοῦ μαρτυρίου. 3 καὶ φυλάξονται τὰς φυ-
λακάς σου, καὶ τὰς φυλακὰς τῆς σκηνῆς σου·
πλὴν πρὸς τὰ σκεύη τὰ ἅγια καὶ πρὸς τὸ θυ-
σιαστήριον, οὐ προσελεύσονται, καὶ οὐκ ἀποθανοῦν-
ται καὶ οὗτοι καὶ ὑμεῖς. 4 καὶ προστεθήσονται
πρὸς σὲ, καὶ φυλάξονται τὰς φυλακὰς τῆς σκη-
νῆς τοῦ μαρτυρίου, κατὰ πάσας τὰς λειτουργίας
τῆς σκηνῆς· καὶ ὁ ἀλλογενὴς οὐ προσελεύσεται
πρὸς σέ. 5 καὶ φυλάξεσθε τὰς φυλακὰς τῶν
ἁγίων, καὶ τὰς φυλακὰς τοῦ θυσιαστηρίου· καὶ
οὐκ᾽ ἔσται ἔτι θυμὸς ἐν τοῖς υἱοῖς Ἰσραήλ. 6 καὶ
ἐγὼ εἴληφα τοὺς ἀδελφοὺς ὑμῶν τοὺς Λευΐτας,
ἐκ μέσου τῶν υἱῶν Ἰσραὴλ δόμα δεδομένον κυ-
ρίῳ

h) τουτέστιν πάντα τὰ ἄρενα τὰ ἐκ τῶν ἱερέων καταγόμενα ὡς τὸ ΙΑ κεφάλαιον τοῦ λευϊτικοῦ.

i) αὐτοὶ οἱ ἱερεῖς μόνοι οἱ εἰλημμένοι καὶ κεχρησμένοι, δοκεῖ δέ μοι ἐνταῦθα, περὶ τῆς θυσίας τῆς τελειώσεως λέγειν, ὡς ἐν τῷ ΙΑ καὶ ΙΕ κεφαλαίῳ τοῦ λευϊτικοῦ καὶ ξα τῆς ἐξόδου· τὰ γὰρ κρέα τῆς θυσίας ταύτης, ἤσθιον οἱ ἱερεῖς αὐτοὶ οἱ τελειούμενοι, τὸ γὰρ περὶ ἁμαρτίας τῶν ἱερέων, ὅλον κατακαίεται, ὡς τοῦ λευϊτικοῦ τὸ Ε καὶ τὸ ΙΑ κεφάλαιον.

ρίῳ λειτουργεῖν τὰς λειτουργίας τῆς σκηνῆς τοῦ
μαρτυρίου, [7] καὶ σὺ καὶ οἱ υἱοί σου μετὰ σοῦ
διατηρήσεται τὴν ἱερατείαν ὑμῶν κατὰ πάντα
τρόπον τοῦ θυσιαστηρίου, καὶ τὸ ἔνδοθεν τοῦ κατα-
πετάσματος· καὶ λειτουργήσεται k) τὰς
λειτουργίας, δόμα τῆς ἱερατείας ὑμῶν· καὶ ὁ
ἀλλογενὴς ὁ προσπορευόμενος ἀποθανεῖται·
[8] Καὶ ἐλάλησεν κύριος πρὸς Ἀαρών· καὶ ἰδοὺ ἐγὼ ΚΘ
δέδωκα ὑμῖν τὴν διατήρησιν τῶν ἀπαρχῶν μου,
ἀπὸ πάντων τῶν ἡγιασμένων μοι παρὰ τῶν υἱῶν
Ἰσραὴλ, σοὶ δέδωκα αὐτὰ εἰς γέρας l) καὶ τοῖς
υἱοῖς σου μετὰ σὲ νόμιμον αἰώνιον· [9] καὶ τοῦτο
ἔστω ὑμῖν ἀπὸ τῶν ἡγιασμένων ἁγίων τῶν καρ-
πωμάτων, ἀπὸ πάντων τῶν δώρων αὐτῶν, καὶ
ἀπὸ πάντων τῶν θυσιασμάτων αὐτῶν, καὶ ἀπὸ
πάσης τῆς πλημμελείας αὐτῶν, καὶ ἀπὸ πα-
σῶν τῶν ἁμαρτιῶν ὅσα ἀποδιδόασίν μοι ἀπὸ m)
πάντων τῶν ἁγίων σοὶ ἔσται· * καὶ τοῖς υἱοῖς σου *148
[10] ἐν τῷ ἁγίῳ τῶν ἁγίων φάγεσθε αὐτά· πᾶν n)
ἀρσενικὸν φάγεται αὐτὰ, σὺ καὶ οἱ υἱοί σου
ἅγια ἔσται σοι· [11] καὶ τοῦτο ἔσται ὑμῖν ἀπαρχῶν

 δομά-

k) ΣΗΜΕΙΩΣΑΙ ΩΡ ὅτι ὁ ἱερεὺς δόμα καὶ δῶρον δοκεῖ προσφέ-
ρειν τῷ θεῷ τὴν λειτουργίαν ἀντὶ τῆς ἱερωσύνης εἰ τετίμη-
ται παρὰ τοῦ θεοῦ, ὥστε ὁ τὰς λειτουργίας δι' εὐλάβειαν πα-
ραπεμπόμενος, ἀγνοεῖ μείζονι περιπίπτων ἁμαρτήματι, μὴ
ἀμειβόμενος τὸν τιμήσαντα.

**ΚΘ ΟΤΙ ΤΩΝ ΙΕΡΕΩΝ ΕΙΣΙ ΤΑ ΠΡΟΣΑΓΟ-
ΜΕΝΑ.**

l) εἰς τιμήν.

m) τὰ ἡγιασμένα μόνοι ἄῤῥενες ἐσθίουσιν· τὰ δὲ ψιλὰ δῶρα ἃ
εἰσιν ἀπαρχαὶ καὶ θήλειαι.

n) ΣΗΜΕΙΩΣΑΙ ὡς ἐν τῷ ΙΑ τοῦ λευϊτικοῦ.

δομάτων αὐτῶν ἀπὸ πάντων τῶν ἐπιθεμάτων o)
τῶν υἱῶν Ἰσραὴλ, σοὶ δέδωκα αὐτὰ καὶ τοῖς υἱοῖς
σȣ, καὶ ταῖς θυγατράσιν σȣ μετὰ σȣ̃ νόμιμον
αἰώνιον· πᾶς καθαρὸς ἐν τῷ οἴκῳ σȣ ἔδεται αὐ-
τὰ [12] πᾶσα ἀπ᾽ἀρχὴ ἐλαίȣ καὶ πᾶσα ἀπαρχὴ
οἴνȣ καὶ σίτȣ, ἀπ᾽ἀρχὴ αὐτῶν, ὅσα ἂν δώσω-
σιν τῷ κυρίῳ, σοὶ δέδωκα αὐτὰ [13] τὰ πρωτογε-
νήματα πάντα ὅσα ἐν τῇ γῇ αὐτῶν, ὅσα ἀνεν-
έγκωσι κυρίῳ, σοὶ ἔςαι· πᾶς καθαρὸς ἐν τῷ
οἴκῳ σȣ, ἔδεται αὐτά· [14] πᾶν ἀνατεθεματισμέ-
νον p) ἐν υἱοῖς Ἰσραὴλ, σοὶ ἔςαι· [15] καὶ πᾶν διαν-
οῖγον πᾶσαν μήτραν ἀπὸ πάσης σαρκὸς, ὅσα
προσφέρȣσιν κυρίῳ, ἀπὸ ἀνθρώπȣ ἕως κτήνȣς,
σοὶ ἔςαι· ἀλλὴ λύτροις λυτρωθήσεται τὰ πρωτό-
τοκα τῶν ἀνθρώπων, καὶ τὰ πρωτότοκα τῶν κτη-
νῶν τῶν ἀκαθάρτων λυτρώσῃ· [16] καὶ ἡ λύτρωσις αὐ-
τȣ̃ ἀπὸ μηνιαίȣ ἡ συντίμησις, πέντε σίκλων κατὰ
τὸν σίκλον τὸν ἅγιον, εἴκοσι ὀβολοί εἰσιν· [17] πλὴν
πρωτότοκα μόσχων, καὶ πρωτότοκα προβάτων,
καὶ πρωτότοκα αἰγῶν, ȣ̓ λυτρώσῃ ἅγιά ἐςιν·
καὶ τὸ αἷμα αὐτῶν προσχεεῖς πρὸς τὸ θυσιαςή-
ριον, καὶ τὸ ςέαρ, ἀνοίσεις κάρπωμα εἰς ὀσμὴν
εὐωδίας κυρίῳ· [18] καὶ τὰ κρέα ἔςαι σοὶ, καθὰ
καὶ τὸ ςηθύνιον τȣ̃ ἐπιθέματος, καὶ κατὰ τὸν
βραχίονα τὸν δεξιὸν, ἔςαι σοί· [19] πᾶν ἀναίρεμα
τῶν ἁγίων, ὅσα ἂν ἀφέλωσιν οἱ υἱοὶ Ἰσραὴλ κυ-
ρίῳ, σοὶ δέδωκα καὶ τοῖς υἱοῖς σȣ καὶ ταῖς θυ-
γατράσιν σȣ μετὰ σȣ̃, νόμιμον αἰώνιον, δια-
θήκη ἁλὸς αἰωνίȣ ἐςιν ἔναντι κυρίȣ σοί· καὶ τῷ
σπέρματί σȣ μετὰ σέ· [20] καὶ ἐλάλησεν κύριος
πρὸς

o) περὶ τῆς θυσίας τȣ̃ σωτηρίȣ φησιν, ὡς ἐν τῷ ΙΔ τȣ̃ λευϊτικȣ̃ κεφαλαίῳ.

p) ἀνατεθημένον.

πρὸς Ἀαρὼν ἐν τῇ γῇ αὐτῶν, * ἐ κληρονομήσεις· *14
καὶ μερὶς ἐκ ἔςαι σοι ἐν αὐτοῖς, ὅτι ἐγὼ μερίς
σε, καὶ κληρονομία σε ἐν μέσῳ τῶν υἱῶν Ἰσ-
ραήλ· 21 καὶ τοῖς υἱοῖς Λευΐ, ἰδὲ δέδωκα πᾶν
ἐπιδέκατον ἐν Ἰσραὴλ ἐν κλήρῳ ἀντὶ τῶν λειτερ-
γιῶν αὐτῶν, ὅσα αὐτοὶ λειτεργῦσιν λειτεργίαν
ἐν τῇ σκηνῇ τῦ μαρτυρίε· 22 καὶ ἐ προσελεύσον-
ται ἔτι οἱ υἱοὶ Ἰσραὴλ εἰς τὴν σκηνὴν τῦ μαρ-
τυρίε, λαβεῖν ἁμαρτίαν θανατηφόρον· 23 καὶ λει-
τεργήσει ὁ Λευΐτης αὐτὸς τὴν λειτεργίαν τῆς
σκηνῆς τῦ μαρτυρίε, καὶ αὐτοὶ λήψονται τὰ
ἁμαρτήματα αὐτῶν, νόμιμον αἰώνιον εἰς τὰς γε-
νεὰς αὐτῶν, καὶ ἐν μέσῳ υἱῶν Ἰσραὴλ, ἐ κλη-
ρονομήσεσιν κληρονομίαν, 24 ὅτι τὰ ἐπιδέκατα
τῶν υἱῶν Ἰσραὴλ, ὅσα ἂν ἀφορίσωσιν κυρίῳ,
ἀφαίρεμα δέδωκα τοῖς Λευΐταις ἐν κλή-
ρῳ· διὰ τῦτο εἴρηκα αὐτοῖς, ἐν μέ-
σῳ υἱῶν Ἰσραὴλ, ἐ κληρονομήσεσιν κλῆρον·
25 Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν λέγων· 26 καὶ ΛΒ
τοῖς Λευΐταις λαλήσεις· καὶ ἐρεῖς πρὸς αὐτές·
ἐὰν λάβητε παρὰ τῶν υἱῶν Ἰσραὴλ τὸ ἐπιδέκα-
τον, ὃ δέδωκα ὑμῖν παρ' αὐτῶν ἐν κλήρῳ καὶ
ἀφελεῖται ὑμεῖς ἀπ' αὐτῦ, ἀφαίρεμα κυρίῳ,
ἐπιδέκατον ἀπὸ τῦ ἐπιδεκάτε· 27 καὶ λογισθήσε-
ται ὑμῖν τὰ ἀφαιρέματα ὑμῶν, ὡς σῖτος ἀπὸ
λῶνος, καὶ ὡς ἀφαίρεμα ἀπὸ ληνῦ· 28 ἕτως
ἀφελεῖτε καὶ ὑμεῖς, ἀπὸ πάντων τῶν ἀφαι-
ρεμάτων κυρίε, ἀπὸ πάντων τῶν ἐπιδεκάτων
ὑμῶν· ὅσα ἂν λάβητε παρὰ τῶν υἱῶν Ἰσραὴλ,
καὶ δώσετε ἀπ' αὐτῶν ἀφαίρεμα κυρίῳ, Ἀαρὼν
τῷ ἱερεῖ, 29 ἀπὸ πάντων τῶν δομάτων ὑμῶν,
ἀφελεῖτε ἀφαίρεμα κυρίῳ ἀπὸ πάντων τῶν

ἀπαρχῶν τὸ ἡγιασμένον ἀπ᾽ αὐτοῦ, 30 καὶ ἐρεῖς
πρὸς αὐτούς· ὅτ᾽ ἂν ἀφαιρῆτε τὴν ἀπαρχὴν ἀπ᾽
αὐτοῦ, καὶ λογισθήσεται τοῖς Λευίταις, ὡς γέ-
νημα ἀπὸ ἅλωνος, καὶ ὡς γένημα ἀπὸ ληνοῦ,
*150 31 καὶ ἔδεσθαι αὐτὸ ἐν παντὶ τόπῳ*, ὑμεῖς καὶ
οἱ οἶκοι ὑμῶν, ὅτι μισθὸς οὗτος ὑμῖν ἐστιν ἀντὶ
τῶν λειτουργιῶν ὑμῶν τῶν ἐν τῇ σκηνῇ τοῦ μαρ-
τυρίου, 32 καὶ οὐ λήψεσθε δι᾽ αὐτὸ ἁμαρτίαν,
ὅτ᾽ ἂν ἀφαιρῆτε τὴν ἀπαρχὴν ἀπ᾽ αὐτοῦ καὶ τὰ
ἅγια τῶν υἱῶν Ἰσραὴλ οὐ βεβηλώσετε, ἵνα μὴ
ἀποθάνητε·
XVIIII. 1 Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν καὶ Ἀα-
ρὼν λέγων· 2 αὕτη ἡ διαστολὴ τοῦ νόμου, ὅσα
συνέταξεν κύριος λέγων· λάλησον τοῖς υἱοῖς Ἰσ-
ραὴλ, καὶ λαβέτωσαν πρὸς σὲ δάμαλιν πυῤῥὰν
ἄμωμον, ἥτις οὐκ ἔχει ἐν αὐτῇ μῶμον, καὶ ἡ οὐκ
ἐπεβλήθη ἐπ᾽ αὐτὴν ζυγός, 3 καὶ δώσεις αὐτὴν
πρὸς Ἐλεάζαρ τὸν ἱερέα, καὶ ἐξάξουσιν αὐτὴν
ἔξω τῆς παρεμβολῆς εἰς τόπον καθαρὸν, καὶ
σφάξουσιν αὐτὴν ἐνώπιον αὐτοῦ· 4 καὶ λήψεται
Ἐλεάζαρ ἀπὸ τοῦ αἵματος αὐτῆς, καὶ ῥανεῖ ἀπέν-
αντι τοῦ προσώπου τῆς σκηνῆς τοῦ μαρτυρίου, ἀπὸ
τοῦ αἵματος αὐτῆς ἑπτάκις· 5 καὶ κατακαύσουσιν
αὐτὴν, ἐναντίον αὐτοῦ, καὶ τὸ δέρμα αὐτῆς, καὶ
τὰ κρέα, καὶ τὸ αἷμα αὐτῆς σὺν τῇ κόπρῳ αὐ-
τῆς κατακαυθήσεται· 6 καὶ λήψεται ὁ ἱερεὺς ξύ-
λον κέδρινον, καὶ ὕσσωπον, καὶ κόκκινον, καὶ
ἐμβαλοῦσιν εἰς μέσον τοῦ κατακαύματος τῆς δα-
μάλεως· 7 καὶ πλυνεῖ τὰ ἱμάτια αὐτοῦ ὁ ἱερεὺς,
καὶ λούσεται τὸ σῶμα αὐτοῦ ὕδατι, καὶ μετὰ
ταῦτα εἰσελεύσεται εἰς τὴν παρεμβολὴν καὶ
ἀκάθαρτος ἔσται ὁ ἱερεὺς ἕως ἑσπέρας· 8 καὶ ὁ
κατα-

κατακαίων αὐτὴν, πλυνεῖ τὰ ἱμάτια αὐτοῦ, καὶ
λούσεται τὸ σῶμα αὐτοῦ ὕδατι, καὶ ἀκάθαρτος
ἔςαι ἕως ἑσπέρας· [9] καὶ συνάξει ἄνθρωπος καθα-
ρὸς τὴν σποδὸν τῆς δαμάλεως, καὶ ἀποθήσει
ἔξω τῆς παρεμβολῆς εἰς τόπον καθαρόν· καὶ
ἔςαι τῇ συναγωγῇ υἱῶν Ἰσραὴλ εἰς διατήρησιν,
ὕδωρ ῥαντισμοῦ, ἅγνισμά ἐςιν· [10] καὶ ὁ συνάγων
τὴν σποδιὰν τῆς δαμάλεως, πλυνεῖ τὰ* ἱμάτια* 151
αὐτοῦ, καὶ ἀκάθαρτος ἔςαι ἕως ἑσπέρας· καὶ
ἔςαι τοῖς υἱοῖς Ἰσραὴλ καὶ τοῖς προσηλύτοις τοῖς
προσκειμένοις ἐν μέσῳ ὑμῶν, νόμιμον αἰώνιον·
[11] Ὁ ἁπτόμενος τοῦ τεθνηκότος πάσης ψυχῆς ἀν- Λ̄
θρώπου, ἀκάθαρτος ἔςαι ἑπτὰ ἡμέρας· [12] οὗτος
ἁγνισθήσεται τῇ ἡμέρᾳ τῇ τρίτῃ, καὶ τῇ ἡμέρᾳ
τῇ ἑβδόμῃ, καθαρὸς ἔςαι· ἐὰν δὲ μὴ ἀφαγνι-
σθῇ τῇ ἡμέρᾳ τῇ τρίτῃ, καὶ τῇ ἡμέρᾳ τῇ ἑβδό-
μῃ, οὐ καθαρὸς ἔςαι· [13] πᾶς ὁ ἁπτόμενος τοῦ
τεθνηκότος ἀπὸ ψυχῆς ἀνθρώπου, ἐὰν ἀποθάνῃ
καὶ μὴ ἀφαγνισθῇ, τὴν σκηνὴν q) κυρίου ἐμίανεν
ἐκτριβήσεται ἡ ψυχὴ ἐκείνη ἐξ Ἰσραὴλ, ὅτι ὕδωρ
ῥαντισμοῦ r) οὐ περιεῤῥαντίσθη ἐπ' αὐτὸν, ἀκάθαρ-
τός ἐςιν, ὅτι ἡ ἀκαθαρσία s) αὐτοῦ, ἐν αὐτῷ ἐςίν·
[14] Καὶ οὗτος ὁ νόμος· ἄνθρωπος ἐὰν ἀποθάνῃ ἐν οἰ- ΛΓ̄
κίᾳ, πᾶς ὁ εἰσπορευόμενος εἰς τὴν οἰκίαν, καὶ
ὅσα ἐςὶν ἐν τῇ οἰκείᾳ, ἀκάθαρτα ἔςαι ἑπτὰ
ἡμέρας· [15] καὶ πᾶν σκεῦος ἀνεῳγμένον ὅσα οὐκ

 ἔχει

Λ̄ ΠΕΡΙ ΚΑΘΑΡΙΣΜΟΥ.

q) τὸν ναὸν τὸ σῶμα.

r) διὰ τοῦτο ἕκαςος τῶν πιςῶν μέλλων τελιύσθαι μεταλαμβάνει.

s) ΣΗΜ[ΕΙΩΣΑΙ] τοῦτο ἰσχυρὸν σφόδρα, κατὰ τῶν σαμαριτῶν εἰ γὰρ μὴ ἦν καὶ μετὰ θάνατον λόγος τῆς καθαρότητος, καὶ ἀκαθαρσίας οὐκ ἂν ἔφησεν περὶ τοῦ ἤδη τελευτήσαντος, ἀκάθαρτος ἐςιν· ἔτι ἡ ἀκαθαρσία αὐτοῦ ἐν αὐτῷ ἐςίν.

ἔχει δεσμὸν καταδέδεται ἐπ᾽ αὐτῷ, ἀκάθαρτά
ἐστιν· 16 καὶ πᾶς ὃς ἂν ἅψηται ἐπὶ προσώπου τοῦ
παιδίου τραυματίου, ἢ νεκροῦ, ἢ ὀστέου ἀνθρωπίνου,
ἢ μνήματος, ἑπτὰ ἡμέρας ἀκάθαρτος ἔσται·
17 καὶ λήψονται τῷ ἀκαθάρτῳ ἀπὸ τῆς σποδιᾶς
τῆς κατακεκαυμένης τοῦ ἁγνισμοῦ, καὶ ἐκχεοῦσιν
ἐπ᾽ αὐτὴν ὕδωρ ζῶν εἰς σκεῦος, 18 καὶ λήψεται
ὕσσωπον, καὶ βάψει εἰς τὸ ὕδωρ, ἀνὴρ καθα-
ρὸς, καὶ περιρανεῖ ἐπὶ τὸν οἶκον, καὶ ἐπὶ τὰ
σκεύη, καὶ ἐπὶ τὰς ψυχὰς, ὅσαι ἐὰν ὦσιν ἐκεῖ·
καὶ ἐπὶ τὸν ἡμμένον τοῦ ὀστέου τοῦ ἀνθρωπίνου, ἢ
τοῦ τραυματίου, ἢ τοῦ τεθνηκότος, ἢ τοῦ μνήμα-
τος· 19 καὶ περιῤῥανεῖ ὁ καθαρὸς ἐπὶ τὸν ἀκά-
θαρτον ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ, καὶ ἐν τῇ ἡμέρᾳ
τῇ ἑβδόμῃ ἀφαγνισθήσεται· καὶ πλυνεῖ τὰ ἱμά-
τια αὐτοῦ καὶ λούσεται ὕδατι, καὶ ἀκάθαρτος
ἔσται ἕως ἑσπέρας· 20 καὶ ἄνθρωπος, ὃς ἂν μιαν-
*152 θῇ καὶ μὴ ἀφαγνισθῇ, ἐξολοθρευθήσεται ἡ *
ψυχὴ ἐκείνη ἐκ μέσου τῆς συναγωγῆς, ὅτι τὰ
ἅγια κυρίου ἐμίανεν, ὅτι ὕδωρ ῥαντισμοῦ οὐ πε-
ριεῤῥαντίσθη ἐπ᾽ αὐτὸν, ἀκάθαρτός ἐστιν· 21 καὶ
ἔσται ὑμῖν νόμιμον αἰώνιον, καὶ ὁ περιῤῥαίνων
ὕδωρ ῥαντισμοῦ, πλυνεῖ τὰ ἱμάτια αὐτοῦ, καὶ ὁ
ἁπτόμενος τοῦ ὕδατος τοῦ ῥαντισμοῦ, ἀκάθαρτος
ἔσται ἕως ἑσπέρας, 22 καὶ παντὸς οὗ ἂν ἅψηται
αὐτοῦ ὁ ἀκάθαρτος, ἀκάθαρτον ἔσται· καὶ ἡ ψυ-
χὴ ἡ ἁπτομένη ἀκάθαρτος ἔσται ἕως ἑσπέρας·
ΛΔ XX. 1 Καὶ ἦλθον οἱ υἱοὶ Ἰσραὴλ πᾶσα t) συναγωγὴ,
εἰς

t) καλῶς ἀπροσδιορίστως, καὶ οὐ προσέθηκεν ἐξεληλυθότων αὐτῶν ἐκ γῆς αἰγύπτου· ἄνω γὰρ φησὶν ἐν τῷ ΙΕ καὶ ἐν τῷ Κ κεφαλαίῳ ὅτι δεύτερον ἐνϊστήκει ἔτος, ἀλλ᾽ ἐνταῦθα μῆνα πρῶτον

εἰς τὴν ἔρημον Σὶν u) ἐν τῷ μηνὶ τῷ πρώτῳ,
καὶ κατέμεινεν ὁ λαὸς ἐν Κάδης, καὶ ἐτελεύτη-
σεν ἐκεῖ Μαριὰμ καὶ ἐτάφη ἐκεῖ, 2 καὶ ὐκ
ἦν ὕδωρ τῇ συναγωγῇ· καὶ συνηθροίσθη
σαν ἐπὶ Μωϋσῆν καὶ Ἀαρὼν, 3 καὶ ἐλοιδορῆτο ὁ ΛΑ
λαὸς πρὸς Μωϋσῆν λέγοντες· ὤφελον ἀπεθάνο-
μεν x) ἐν τῇ ἀπωλείᾳ τῶν ἀδελφῶν ἡμῶν ἔναντι
κυρίυ· 4 καὶ ἱνατί ἀνηγάγετε τὴν συναγωγὴν
κυρίυ εἰς τὴν ἔρημον ταύτην ἀποκτεῖναι ἡμᾶς,
καὶ τὰ κτήνη ἡμῶν· 5 καὶ ἱνατί τῦτο ἀνηγά-
γετε ἡμᾶς ἐξ Αἰγύπτυ παραγενέσθαι εἰς τὸν τό-
πον τὸν πονηρὸν τῦτον· τόπος, ὖ ὐ σπείρεται,
ὐδὲ συκαὶ, ὔτε ἄμπελοι, ὔτε ῥοαὶ, ὔτε ὕδωρ
ἐστὶν πιεῖν· 6 καὶ ἦλθεν Μωϋσῆς καὶ Ἀα-
ρὼν ἀπὸ προσώπυ τῆς συναγωγῆς, ἐπὶ τὴν θύ-
ραν τῆς σκηνῆς τῦ μαρτυρίυ, καὶ ἔπεσον ἐπὶ
πρόσωπον, καὶ ὤφθη ἡ δόξα κυρίυ πρὸς αὐτύς·
7 καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν λέγων· 8 λά-
βε τὴν ῥάβδον καὶ ἐκκλησίασον τὴν συναγωγὴν,
σὺ καὶ Ἀαρὼν ὁ ἀδελφός συ, καὶ λαλήσατε
πρὸς τὴν πέτραν ἔναντι αὐτῶν, καὶ δώσει τὰ
ὕδατα αὐτῆς, καὶ ἐξοίσετε αὐτοῖς ὕδωρ ἐκ τῆς
πέτρας, καὶ ποτιεῖτε τὴν συναγωγὴν καὶ τὰ κτήνη
αὐτῶν·



πρῶτον φησιν τὸν τῶν τεσσεράκοντα ἐτῶν, ἃ ἠπείλησεν αὐτὺς ὁ θεὸς, ἔσεσθαι ἐν τῇ ἐρήμῳ ἐν τῷ ΚΑ κεφαλαίῳ· ἰδὺ γὰρ πάλιν ὑποστρέφυσιν εἰς τὴν ἔρημον σιναὶ, ὅθεν φησὶν ἀπηρκέναι αὐτὺς ἐν τῷ κ κεφαλαίῳ, καὶ πολλὰ πλανηθέντες παραγίνονται ἐν κάδης, ὅπυ ἦσαν οἱ κατάσκοποι ὑποστρέψαντες πρὸς μωϋσὴν καὶ τὴν συναγωγὴν ἐν τῷ ΚΑ κεφαλαίῳ.

u) σιναί. x) ἀπωλόμεθα.

ΛΑ ΠΕΡΙ ΤΟΥ ΥΔΑΤΟΣ ΤΟΥ ΕΞΕΛΘΟΝΤΟΣ ΕΚ ΤΗΣ ΠΕΤΡΑΣ.

αὐτῶν· [9] καὶ ἔλαβεν Μωϋσῆς τὴν ῥάβδον τὴν
ἀπέναντι κυρίου, καθὰ συνέταξεν κύριος [10] καὶ
ἐξεκκλησίασεν Μωϋσῆς καὶ Ἀαρὼν τὴν συνα-
*153 γωγὴν ἔναντι * κυρίου, ἀπέναντι τῆς πέτρας, καὶ
εἶπεν πρὸς αὐτούς· ἀκούσατέ μου οἱ ἀπειπεῖς· μὴ
ἐκ τῆς πέτρας ταύτης ἐξάξομεν ὑμῖν ὕδωρ,
[11] καὶ ἐπάρας Μωϋσῆς τὴν χεῖρα αὐτοῦ, ἐπάτα-
ξεν τὴν πέτραν τῇ ῥάβδῳ δὶς, καὶ ἐξῆλθεν
ὕδωρ πολὺ, καὶ ἔπιεν ἡ συναγωγὴ καὶ τὰ κτή-
νη αὐτῶν· [12] καὶ εἶπεν κύριος πρὸς Μωϋ-
σῆν καὶ Ἀαρών· ὅτι οὐκ ἐπιστεύσατε μοι ἁγιά-
σαι με ἐναντίον τῶν υἱῶν Ἰσραὴλ, διὰ τοῦτο οὐκ
εἰσάξετε ὑμεῖς τὴν συναγωγὴν ταύτην εἰς τὴν
γῆν, ἣν ἔδωκα αὐτοῖς, [13] τοῦτο τὸ ὕδωρ
ἀντιλογίας y), ὅτι ἐλοιδωρήθησαν οἱ υἱοὶ Ἰσ-
ραὴλ ἔναντι κυρίου, καὶ ἡγιάσθη ἐν αὐτοῖς·
ΛΒ [14] Καὶ ἀπέστειλεν Μωϋσῆς ἀγγέλους ἐκ Κάδης πρὸς
βασιλέα Ἐδὼμ λέγων· τάδε λέγει ὁ ἀδελφός
σου Ἰσραὴλ, σὺ ἐπίστῃ, πάντα τὸν μόχθον τὸν
εὑρόντα ἡμᾶς, [15] καὶ κατέβησαν οἱ πατέρες ἡμῶν
εἰς Αἴγυπτον, καὶ παρῳκήσαμεν εἰς Αἴγυπτον
ἡμέρας πλείους, καὶ ἐκάκωσαν ἡμᾶς οἱ Αἰγύπτιοι,
καὶ τοὺς πατέρας ἡμῶν· [16] καὶ ἀνεβοήσαμεν πρὸς
κύριον, καὶ εἰσήκουσεν κύριος τῆς φωνῆς ἡμῶν, καὶ
ἀποστείλας ἄγγελον, ἐξήγαγεν ἡμᾶς ἐξ Αἰγύπτου·
Καὶ νῦν ἐσμὲν ἐν Κάδης πόλει, ἐκ μέρους τῶν
ὁρίων σου [17] παρελευσόμεθα διὰ τῆς γῆς σου· οὐ
διελευσόμεθα δι᾽ ἀγρῶν, οὐδὲ δι᾽ ἀμπελώ-
νων, οὐδὲ πιόμεθα ὕδωρ ἐκ λάκκου σου·
ὁδῷ

ΛΒ ΠΕΡΙ ΤΩΝ ΑΠΟΣΤΑΛΕΝΤΩΝ ΠΡΟΣ ΤΟΥΣ ΥΙΟΥΣ ΗΣΑΥ.

y) λοιδωρίας.

ὁδῷ βασιλικῇ πορευσόμεθα, οὐκ ἐκκλι-
νοῦμεν δεξιὰ, οὐδὲ εὐώνυμα, ἕως ἂν παρέλθωμεν
τὰ ὅριά σου. [18] καὶ εἶπεν πρὸς αὐτὸν
Ἐδὼμ, οὐ διελεύσῃ δι' ἐμοῦ· εἰ δὲ μὴ, ἐν πολέμῳ
ἐξελεύσομαι εἰς συνάντησίν σοι. [19] καὶ λέγουσιν
αὐτῷ οἱ υἱοὶ Ἰσραήλ· παρὰ τὸ ὄρος παρελευ-
σόμεθα· ἐὰν δὲ τοῦ ὕδατός σου πίωμεν, ἐγὼ
τε καὶ τὰ κτήνη μου, δώσω τιμήν σοι· ἀλλὰ
τὸ πρᾶγμα οὐδέν ἐστιν, παρὰ τὸ ὄρος παρελευ-
σόμεθα. [20] ὁ δὲ εἶπεν· οὐ διελεύσῃ δι' ἐμοῦ· καὶ
ἐξῆλθεν Ἐδὼμ εἰς συνάντησιν * αὐτῷ ἐν ὄχλῳ *154
βαρεῖ· καὶ ἐν χειρὶ ἰσχυρᾷ. [21] καὶ οὐκ ἠθέλησεν
Ἐδὼμ δοῦναι τῷ Ἰσραὴλ παρελθεῖν διὰ τῶν ὁρίων
αὐτοῦ· καὶ ἐξέκλεινεν Ἰσραὴλ ἀπ' αὐτοῦ. [22] καὶ
Ἀπῆραν ἐκ Κάδης, καὶ παρεγένοντο οἱ υἱοὶ Ἰσραὴλ ΛΓ
πᾶσα ἡ συναγωγὴ εἰς Ὢρ τὸ ὄρος. [23] καὶ εἶπεν
κύριος πρὸς Μωϋσῆν καὶ Ἀαρὼν ἐν Ὢρ τῷ ὄρει
ἐπὶ τῶν ὁρίων γῆς Ἐδὼμ, λέγων· [24] προστεθήτω
Ἀαρὼν πρὸς τὸν λαὸν αὐτοῦ, ὅτι οὐ μὴ εἰσέλ-
θητε εἰς τὴν γῆν ἣν δέδωκα τοῖς υἱοῖς Ἰσραὴλ
ἐν κατασχέσει· διότι παρωξύνατέ με ἐπὶ τοῦ
ὕδατος τῆς λοιδορίας. [25] λάβε τὸν Ἀαρὼν τὸν
ἀδελφόν σου, καὶ Ἐλεάζαρ τὸν υἱὸν αὐτοῦ, καὶ
ἀναβίβασον αὐτοὺς εἰς Ὢρ τὸ ὄρος, ἐναντίον
πάσης τῆς συναγωγῆς, [26] καὶ ἔκδυσον Ἀαρὼν
τὴν στολὴν αὐτοῦ, καὶ ἔνδυσον Ἐλεάζαρ τὸν υἱὸν
αὐτοῦ· καὶ Ἀαρὼν προστεθεὶς, ἀποθανέτω ἐκεῖ.
[27] καὶ ἐποίησεν Μωϋσῆς καθὰ συνέταξεν αὐτῷ
κύριος· καὶ ἀνεβίβασεν αὐτοὺς εἰς Ὢρ τὸ ὄρος
ἐναντίον πάσης τῆς συναγωγῆς. [28] καὶ ἐξέδυσεν
τὸν

ΛΓ ΠΕΡΙ ΤΟΥ ΘΑΝΑΤΟΥ ΑΑΡΩΝ.

τὸν Ἀαρὼν τὰ ἱμάτια αὐτȣ̃, καὶ ἐνέδυσεν αὐ-
τὰ Ἐλεάζαρ τὸν υἱὸν αὐτȣ̃· καὶ ἀπέθανεν Ἀα-
ρὼν ἐκεῖ ἐπὶ τῆς κορυφῆς τȣ̃ ὄρȣς· καὶ κατέβη
Μωϋσῆς καὶ Ἐλεάζαρ ἐκ τȣ̃ ὄρȣς, [29] καὶ ἴδεν πᾶσα
ἡ συναγωγὴ, ὅτι ἀπελύθη Ἀαρὼν, καὶ ἔκλαυσαν
τὸν Ἀαρὼν τριάκοντα ἡμέρας πᾶς οἶκος Ἰσραήλ·
ΛΔ XXI. [1] Καὶ ἤκȣσεν ὁ Χανάνης βασιλεὺς Ἀρὰδ ὁ
κατοικῶν κατὰ τὴν ἔρημον, ὅτι ἦλθεν Ἰσραὴλ
ὁδὸν Ἀθαρεὶμ καὶ ἐπολέμησεν πρὸς Ἰσραὴλ,
καὶ κατεπρονόμευσαν ἐξ αὐτῶν αἰχμαλωσίαν·
[2] καὶ ηὔξατο Ἰσραὴλ εὐχὴν κυρίῳ καὶ εἶπεν· ἐάν
μοι παραδῷς τὸν λαὸν τȣ̃τον ὑποχείριον, ἀνα-
θεματιῶ αὐτὸν, καὶ τὰς πόλεις αὐτȣ̃· [3] καὶ εἰσ-
ήκȣσεν κύριος τῆς φωνῆς Ἰσραὴλ, καὶ παρέ-
δωκεν τὸν Χάνανι ὑποχείριον αὐτῷ, καὶ ἀνεθε-
μάτισεν αὐτὸν, καὶ τὰς πόλεις αὐτȣ̃· καὶ
*155 ἐπεκάλεσαν * τὸ ὄνομα τȣ̃ τόπȣ ἐκείνȣ ἀνάθεμα·
ΛΣ [4] Καὶ ἀπάραντες ἐξ Ὢρ τὸ ὄρος ὁδὸν ἐπὶ θάλασ-
σαν ἐρυθρὰν, περιεκύκλωσαν τὴν γῆν Ἐδώμ
καὶ ὠλιγοψύχησεν ὁ λαὸς ἐν τῇ ὁδῷ, [5] καὶ κατ-
ελάλει ὁ λαὸς πρὸς τὸν θεὸν, καὶ κατὰ Μωϋ-
σῆ λέγοντες· ἱνατί ἐξηγάγετε ἡμᾶς ἐξ Αἰγύπτȣ,
ἀποκτεῖναι ἡμᾶς ἐν τῇ ἐρήμῳ, ὅτι ȣ̓κ ἔςιν ἄρ-
τος, ȣ̓δὲ ὕδωρ, ἡ δὲ ψυχὴ ἡμῶν προσ-
ώχθησεν ἐν τῷ ἄρτῳ διακένῳ z) τȣ́τῳ·
ΛΕ [6] Καὶ ἀπέςειλεν κύριος εἰς τὸν λαὸν τȣ̀ς ὄφεις τȣ̀ς
θανα-

ΛΔ ΠΕΡΙ ΤΟΥ ΠΩΣ ΕΝΙΚΗΣΑΝ ΤΟΝ ΧΑΝΑΝΙΝ ΟΙ ΙΣΡΑΗΛΙΤΑΙ.

ΛΕ ΠΕΡΙ ΤΩΝ ΑΝΑΙΡΕΘΕΝΤΩΝ ΥΠΟ ΤΩΝ ΟΦΕΩΝ ΚΑΙ ΠΕΡΙ ΤΟΥ ΧΑΛΚΟΥ ΟΦΕΩΣ.

z) ματαίῳ
ξηρῷ
οἱ Λ. κȣ́φῳ.

θανατοῦντας, καὶ ἔδακνον τὸν λαὸν καὶ ἀπέ-
θανεν λαὸς πολὺς τῶν υἱῶν Ἰσραήλ· 7 καὶ παρα-
γενόμενος ὁ λαὸς πρὸς Μωϋσῆν, ἔλεγον· ὅτι
ἡμαρτήκαμεν ὅτι κατελαλήσαμεν κατὰ κυρίου καὶ
κατὰ σοῦ· εὖξαι οὖν πρὸς κύριον, καὶ ἀφελέτω
ἀφ᾽ ἡμῶν τὸν ὄφιν· 8 καὶ ηὔξατο Μωϋσῆς πρὸς
κύριον περὶ τοῦ λαοῦ· καὶ εἶπεν κύριος πρὸς
Μωϋσῆν· ποίησον σεαυτῷ ὄφιν, χαλκοῦν, καὶ θὲς
αὐτὸν ἐπὶ σημείου a)· καὶ ἔσται, ἐὰν δάκῃ ὄφις
ἄνθρωπον, πᾶς ὁ δεδηγμένος ἰδὼν αὐτὸν ζήσε-
ται· 9 καὶ ἐποίησεν Μωϋσῆς ὄφιν, χαλκοῦν,
καὶ ἔστησεν αὐτὸν ἐπὶ σημείου· καὶ ἐγένετο ὅτ᾽ ἂν
ἔδακεν ὁ ὄφις ἄνθρωπον, καὶ ἐπέβλεψεν ἐπὶ τὸν
ὄφιν τὸν χαλκοῦν καὶ ἔζη· 10 καὶ ἀπῆραν
οἱ υἱοὶ Ἰσραὴλ καὶ παρενέβαλον ἐν Ὀβώθ· 11 καὶ
ἐξάραντες ἐξ Ὀβὼθ παρενέβαλον ἐν Ἀχελ-
γαὶ b), ἐκ τοῦ πέραν ἐν τῇ ἐρήμῳ, ἥ ἐστιν κατὰ
πρόσωπον Μωὰβ κατὰ ἀνατολὰς ἡλίου· 12 ἐκεῖ-
θεν ἀπῆραν, καὶ παρενέβαλον εἰς φάραγγα
Ζαρέδ· 13 καὶ ἐκεῖθεν ἀπάραντες παρενέβαλον εἰς
τὸ πέραν Ἀρνὼν ἐν τῇ ἐρήμῳ τὸ ἐξέχον ἀπὸ τῶν
ὁρίων τῶν Ἀμορραίων· ἔστιν γὰρ Ἀρνὼν ὅρια
Μωάβ, ἀναμέσον Μωὰβ καὶ ἀναμέσον τοῦ
Ἀμορραίου· 14 διὰ τοῦτο λέγεται ἐν βιβλίῳ πό-
λεμος * τοῦ κυρίου· τὴν Ζωὸβ ἐφλόγισεν, καὶ τοὺς *156
χειμάῤῥους Ἀρνῶν, 15 καὶ τοὺς χειμάῤῥους κατέστη-
σεν κατοικίσαι Ἤρ, καὶ πρόσκειται τοῖς ὁρίοις
Μωάβ, 16 καὶ ἐκεῖθεν τὸ φρέαρ· τοῦτό ἐστιν τὸ
φρέαρ ὃ εἶπεν κύριος πρὸς Μωϋσῆν· συνα-
γάγετε τὸν λαόν, καὶ δώσω αὐτοῖς ὕδωρ
πιεῖν·

a) cr. ἐπὶ ὕψους. b) αχελσεειν.

πιεῖν. 17 τότε c) ᾖσεν Ἰσραὴλ τὸ ᾆσμα τοῦτο
ΛϚ Ἐπὶ τοῦ Φρέατος, ἐξάρχετε d) αὐτῷ· Φρέαρ 18 ὤρυ-
ξαν αὐτὸ ἄρχοντες, ἐξελατόμησαν αὐτὸ βασι-
λεῖς ἐθνῶν ἐν τῇ βασιλείᾳ αὐτῶν, ἐν τῷ κυ-
ριεῦσαι αὐτῶν· καὶ ἀπὸ Φρέατος εἰς Μανθα-
ναὶν, 19 καὶ ἀπὸ Μανθαναὶν e) εἰς Νααλιὴλ f)
καὶ ἀπὸ Νααλιὴλ εἰς Βαμὼθ g)· καὶ ἐκ
Βαμὼθ εἰς ναπὴν ἥ ἐστιν ἐν τῷ παιδίῳ Μωὰβ,
ἀπὸ κορυφῆς τοῦ λελαξευμένου τὸ βλέπον κα-
τὰ πρόσωπον τῆς ἐρήμου. 20 καὶ ἀπέστειλεν
ΛΖ Μωϋσῆς πρέσβεις πρὸς Σηὼν βασιλέα τῶν Ἀμορ-
ῥαίων, λόγοις εἰρηνικοῖς λέγων, 21 παρελευσόμε-
θα διὰ τῆς γῆς σου, τῇ ὁδῷ πορευσόμεθα, οὐκ
ἐκκλινοῦμεν, οὔτε εἰς ἀγρὸν, οὔτε εἰς ἀμπελῶνα·
22 οὐ πιόμεθα ὕδωρ ἐκ φρέατός σου· ὁδῷ βασιλικῇ
πορευσόμεθα, ἕως ἂν παρέλθωμεν τὰ ὅριά
σου. 23 καὶ οὐκ ἔδωκεν Σηὼν τῷ Ἰσραὴλ παρ-
ελθεῖν διὰ τῶν ὁρίων αὐτοῦ· καὶ συνήγαγεν
Σηὼν πάντα τὸν λαὸν αὐτοῦ, καὶ ἐξῆλθεν παρα-
τάξασθαι τῷ Ἰσραὴλ εἰς τὴν ἔρημον, καὶ ἦλ-
θεν εἰς Ἰασσὰ h), καὶ παρετάξατο τῷ Ἰσραὴλ,
24 καὶ

ΛϚ ΠΕΡΙ ΤΗΣ ΩΔΗΣ ΤΟΥ ΙΣΡΑΗΛ.

c) ὅτι ἐγόγγυσαν ἀπάραντες ἐξ ὢρ τοῦ ὄρους περικυκλώσαντες τὴν γῆν ἐδὼμ ἐν τῷ προτούτου κεφαλαίῳ, ὡς τετράκις φαίνονται γογγύσαντες ἐφ᾽ ὕδατι, ἐν πάσῃ τῇ ὁδῷ, ἅπαξ ἐλθόντες εἰς μερρὰν, ὡς ἐν τῷ κη κεφαλαίῳ τῆς ἐξόδου· δεύτερον ἐν γραφήδιν ὡς ἐν τῷ λγ κεφαλαίῳ τῆς ἐξόδου· τρίτον ἐν τῇ ἐρήμῳ σινὰ, ἐν κάδης· ὡς ἐν τῷ λα τῶν ἀριθμῶν ὅπερ ἐστιν ὕδωρ ἀντιλογίας· τέταρτον ἐπὶ τοῦ παρόντος φρεάτος.

d) ΑΚ. ΣΥ. καταλέξατε.

e) δόματα αὐτῶν.

f) ἀπὸ θεοῦ.

g) ἔλευσις θανάτου.

h) γεγονυῖα ἐντολή.

[24] καὶ ἐπάταξεν αὐτὸν Ἰσραὴλ φόνῳ μαχαίρας,
καὶ κατεκυρίευσαν τῆς γῆς αὐτοῦ ἀπὸ Ἀρνῶν,
ἕως Ἰαβὸκ ἕως υἱῶν Ἀμμὰν i), ὅτι Ἰαζὴρ k),
ὅρια υἱῶν Ἀμμάν ἐστιν· [25] καὶ ἔλαβεν Ἰσραὴλ
πάσας τὰς πόλεις ταύτας, καὶ κατῴκησεν Ἰσ-
ραὴλ ἐν πάσαις ταῖς πόλεσιν τῶν Ἀμοῤῥαίων ἐν
Ἐσεβὼν, καὶ ἐν πάσαις ταῖς συγκυρούσαις αὐ-
ταῖς· [26] ἔστιν γὰρ Ἐσεβὼν πόλις Σηὼν * τοῦ βα- *157
σιλέως τῶν Ἀμοῤῥαίων, καὶ οὗτος ἐπολέμησεν
βασιλέα Μωὰβ τὸ πρότερον, καὶ ἔλαβεν πᾶ-
σαν τὴν γῆν αὐτοῦ ἀπὸ Ἀροὴρ ἕως Ἀρνῶν l).
[27] Διὰ τοῦτο ἐροῦσιν οἱ αἰνιγματισταὶ, ἔλθετε εἰς m)
Ἐσεβὼν, ἵνα οἰκοδομηθῇ καὶ κατασκευασθῇ
πόλις Σηών· [28] ὅτι πῦρ ἐξῆλθεν ἐξ Ἐσε-
βὼν, φλὸξ ἐκ πόλεως Σηὼν, καὶ κατέφα-
γεν ἕως Μωὰβ καὶ κατέπιεν στήλας Ἀρνῶν·
[29] Οὐαί σοι Μωὰβ, ἀπώλου λαὸς Χαμὼς, ἀπεδό-
θησαν οἱ υἱοὶ αὐτῶν διασώζεσθαι· καὶ αἱ θυ-
γατέρες αὐτῶν αἰχμάλωτοι τῷ βασιλεῖ τῶν
Ἀμοῤῥαίων Σηὼν n), [30] καὶ τὸ σπέρμα αὐτῶν
ἀπολεῖται· Ἐσεβὼν ἕως Δαιβών· καὶ αἱ γυναῖκες
αὐτῶν, ὅτι ἔτι προσεξέκαυσαν πῦρ ἐπὶ Μωάβ·
[31] κατῴκησεν δὲ Ἰσραὴλ ἐν πάσαις ταῖς πόλεσιν
τῶν Ἀμοῤῥαίων o), [32] καὶ ἀπέστειλεν Μωϋσῆς κατα- ΛΗ
σκέψασθαι τὴν Ἰαζὴρ, καὶ κατελάβοντο αὐ-
τὴν, καὶ τὰς κώμας αὐτῆς, καὶ ἐξέβαλον τὸν
Ἀμοῤῥαῖον τὸν ὄντα ἐκεῖ· [33] καὶ ἐπιστρέ-
ψαντες, ἀνέβησαν ὁδὸν τὴν εἰς Βασάν p).

Καὶ

ΛΗ ΝΙΚΗ ΚΑΤΑ ΤΟΥ ΑΜΟΡΡΑΙΟΥ.

i) λαὸς ἡμῶν.
k) ἰσχύουσα.
l) ἄραι αὐτῶν.
m) λογισμοί.
n) ἄκαρπον δένδρον.
o) παραπικραίνοντες.
p) αἰσχύνη.

ΛΘ Καὶ ἐξῆλθεν Ὢγ βασιλεὺς τῆς Βασὰν εἰς συν-
άντησιν αὐτοῖς, καὶ πᾶς ὁ λαὸς αὐτȣ̃ εἰς πό-
λεμον εἰς Ἐδραείν· 34 καὶ εἶπεν κύριος πρὸς Μωϋ-
σῆν· μὴ φοβηθῆς αὐτόν, ὅτι εἰς τὰς χεῖράς σȣ
παραδέδωκα αὐτόν, καὶ πάντα τὸν λαὸν αὐτȣ̃,
καὶ πᾶσαν τὴν γῆν αὐτȣ̃· καὶ ποιήσεις αὐτῷ,
καθὼς ἐποίησας τῷ Σηὼν βασιλεῖ τῶν Ἀμορ-
ῥαίων, ὃς κατῴκει ἐν Ἐσεβών· 35 καὶ ἐπάταξεν
αὐτὸν καὶ τȣ̀ς υἱȣ̀ς αὐτȣ̃, καὶ πάντα τὸν
λαὸν αὐτȣ̃, ἕως τȣ̃ μὴ καταλειπεῖν αὐτȣ̃ ζω-
γρείαν, καὶ ἐκληρονόμησαν τὴν γῆν αὐτῶν·
XXII. 1 Καὶ ἀπάραντες οἱ υἱοὶ Ἰσραὴλ, παρενέβα-
λον ἐπὶ δυσμῶν Μωὰβ παρὰ τὸν Ἰορδάνην
κατὰ Ἱεριχώ. 2 καὶ ἰδὼν Βαλὰκ υἱὸς
ΛΗ Σεπφὼρ πάντα ὅσα ἐποίησεν Ἰσραὴλ τῷ Ἀμορ-
ῥαίῳ· 3 καὶ ἐφοβήθη Μωὰβ τὸν λαὸν σφόδρα,
*158 ὅτι πολλοὶ ἦσαν· * καὶ προσώχθησεν Μωὰβ q)
ἀπὸ προσώπȣ υἱῶν Ἰσραήλ· 4 καὶ εἶπεν Μωὰβ
τῇ γερȣσίᾳ Μαδιάμ· νῦν ἐκλείξει ἡ συναγω-
γὴ αὕτη πάντας τȣ̀ς κύκλῳ ἡμῶν, ὡσεὶ ἐκλεί-
ξαι ὁ μόσχος τὰ χλωρὰ ἐκ τȣ̃ πεδίȣ·
Καὶ Βαλὰκ υἱὸς Σεπφὼρ, βασιλεὺς Μωὰβ ἦν
κατὰ τὸν καιρὸν ἐκεῖνον, 5 καὶ ἀπέστειλεν πρέσ-
βεις πρὸς Βαλαὰμ υἱὸν Βεὼρ Φαθȣρὰ, ὅς ἐστιν
ἐπὶ τȣ̃ ποταμȣ̃ γῆς υἱῶν λαȣ̃ αὐτȣ̃, καλέσαι
αὐτὸν λέγων· ἰδȣ̀ λαὸς ἐξελήλυθεν ἐξ Αἰγύπτȣ,
καὶ ἰδȣ̀ κατεκάλυψεν τὴν ὄψιν τῆς γῆς, καὶ
ȣ̃τος ἐγκάθηται ἐχόμενός μȣ· 6 καὶ νῦν δεῦ-
ρο ἄρασαί μοι τὸν λαὸν τȣ̃τον, ὅτι ἰσχυρότερός r)
μȣ

ΛΘ ΝΙΚΗ ΙΗΛ ΚΑΤΑ ΤΟΥ ΩΓ' ΒΑCΙΛΕΩC ΤΗC ΒΑCΑΝ.

q) βαλακ

r) ἰσχύει ȣ̃τος ἢ ἡμεῖς.

μου ἐστίν· ἐὰν δυνώμεθα πατάξαι ἐξ αὐτῶν, καὶ
ἐκβαλῶ αὐτοὺς ἐκ τῆς γῆς, ὅτι οἶδα οὓς ἂν εὐλο-
γήσῃς σὺ, ηὐλόγηνται, καὶ οὓς ἂν καταράσῃ σὺ, κε-
κατήρανται· [7] καὶ ἐπορεύθη ἡ γερουσία Μωὰβ
Καὶ ἡ γερουσία Μαδιὰμ καὶ τὰ μαντεῖα ἐν ταῖς
χερσὶν αὐτῶν, καὶ ἦλθον πρὸς Βαλαὰμ καὶ εἶπαν
αὐτῷ, τὰ ῥήματα Βαλὰκ, [8] καὶ εἶπεν πρὸς αὐ-
τούς· καταλύσατε αὐτοῦ τὴν νύκτα, καὶ ἀποκριθή-
σομαι ὑμῖν ῥήματα ἃ ἂν λαλήσῃ κύριος πρός με·
Καὶ κατέμειναν οἱ ἄρχοντες Μωὰβ παρὰ Βαλαάμ·
[9] καὶ ἦλθεν ὁ θεὸς πρὸς Βαλαὰμ, καὶ εἶπεν
αὐτῷ· τί οἱ ἄνθρωποι οὗτοι παρὰ σοί· [10] καὶ εἶ-
πεν Βαλαὰμ, πρὸς τὸν θεόν· Βαλὰκ υἱὸς Σεπ-
φὼρ βασιλεὺς Μωὰβ ἀπέστειλεν αὐτοὺς πρός με
λέγων· [11] ἰδοὺ λαὸς ἐξελήλυθεν ἐξ Αἰγύπτου,
καὶ ἐκάλυψεν τὴν ὄψιν τῆς γῆς, καὶ οὗτος ἐγκάθ-
ηται ἐχόμενός μου· καὶ νῦν, δεῦρο ἄρασαί μοι
αὐτὸν, εἰ ἄρα δυνήσομαι αὐτὸν πατάξαι s), καὶ
ἐκβαλῶ αὐτὸν ἐκ τῆς γῆς· [12] καὶ εἶπεν ὁ θεὸς
πρὸς Βαλαὰμ· οὐ πορεύσῃ μετ᾽ αὐτῶν, οὐδὲ κατ-
αράσῃ τὸν λαόν· ἔστιν γὰρ ηὐλογημένος· [13] καὶ
ἀναστὰς Βαλαὰμ τῶ πρωὶ, εἶπεν τοῖς ἄρχουσιν
Βαλάκ· ἀποτρέχετε πρὸς τὸν * κύριον ὑμῶν· οὐκ *159
ἀφίησίν με ὁ θεὸς πορεύεσθε μεθ᾽ ὑμῶν· [14] καὶ
ἀναστάντες οἱ ἄρχοντες Μωὰβ, ἦλθον πρὸς Βα-
λὰκ καὶ εἶπον αὐτῷ· οὐ θέλει Βαλαὰμ πορευθῆναι
μεθ᾽ ἡμῶν· [15] καὶ προσέθετο ἔτι Βαλὰκ ἀποστεῖ-
λαι ἄρχοντας πλείους καὶ ἐντιμοτέρους τούτων·
[16] καὶ ἦλθον πρὸς Βαλαὰμ καὶ λέγουσιν αὐτῷ·
τάδε λέγει Βαλὰκ ὁ τοῦ Σεπφὼρ ἀξιῶσαι, μὴ
ὀκνή-

s) ἐκπολεμῆσαι.

ὀκνήσῃς ἐλθεῖν πρός με· 17 ἐντίμως γὰρ τιμήσω
σε, καὶ πάντα ἃ ἂν μοι εἴπῃς ποιήσω σε· καὶ
δεῦρο ἐπικατάρασαί μοι τὸν λαὸν τοῦτον· 18 καὶ
ἀπεκρίθη Βαλαὰμ καὶ εἶπεν τοῖς ἄρχουσιν Βα-
λάκ· ἐὰν δῷ μοι Βαλὰκ πλήρη τὸν οἶκον αὐτοῦ,
ἀργυρίου καὶ χρυσίου, οὐ δυνήσομαι παραβῆναι τὸ
ῥῆμα κυρίου τοῦ θεοῦ, ποιῆσαι αὐτὸ μικρὸν ἢ μέ-
γα ἐν τῇ διανοίᾳ μου· 19 καὶ νῦν, ὑπομείνατε αὐ-
τοῦ καὶ ὑμεῖς τὴν νύκτα ταύτην, καὶ γνώσομαι,
τί προσθήσει κύριος λαλῆσαι πρός με· 20 καὶ
ἦλθεν ὁ θεὸς πρὸς Βαλαὰμ νυκτὸς, καὶ εἶπεν
αὐτῷ· εἰ καλέσαι σε πάρεισιν οἱ ἄνθρωποι οὗτοι,
ἀναστὰς ἀκολούθησον αὐτοῖς· ἀλλὰ τὸ ῥῆμα ὃ
ἂν λαλήσω πρὸς σὲ, τοῦτο ποιήσεις· 21 καὶ ἀνα-
στὰς Βαλαὰμ τὸ πρωῒ, ἐπέσαξεν τὴν ὄνον αὐτοῦ,
καὶ ἐπορεύθη μετὰ τῶν ἀρχόντων Μωάβ· 22 καὶ
ὠργίσθη θυμῷ ὁ θεὸς, ὅτι ἐπορεύετο αὐτὸς, καὶ
ἀνέστη ὁ ἄγγελος τοῦ θεοῦ ἐνδιαβάλλειν αὐτὸν
ἐπὶ τῆς ὁδοῦ, καὶ αὐτὸς ἐπιβεβήκει ἐπὶ τῆς ὄνου
αὐτοῦ, καὶ οἱ δύο παῖδες αὐτοῦ μετ᾽ αὐτοῦ· 23 καὶ
ἰδοῦσα ἡ ὄνος τὸν ἄγγελον τοῦ θεοῦ, ἀνθεστηκότα
ἐν τῇ ὁδῷ, καὶ τὴν ῥομφαίαν ἐσπασμένην ἐν τῇ
χειρὶ αὐτοῦ, καὶ ἐξέκλεινεν ἡ ὄνος ἐκ τῆς ὁδοῦ,
καὶ ἐπορεύετο εἰς τὸ πεδίον· καὶ ἐπάταξεν t)
τὴν ὄνον ἐν τῇ ῥάβδῳ τοῦ εὐθῦναι αὐτὴν ἐν τῇ
ὁδῷ· 24 καὶ ἔστη ὁ ἄγγελος τοῦ θεοῦ ἐν ταῖς αὔ-
λαξιν τῶν ἀμπελώνων, φραγμὸς ἐντεῦθεν, καὶ
φραγμὸς ἐντεῦθεν· 25 καὶ ἰδοῦσα ἡ ὄνος τὸν ἄγ-
γελον τοῦ θεοῦ, προσέθλιψεν ἑαυτὴν πρὸς τὸν
*160 τύχον, * καὶ ἀπέθλιψεν τὸν πόδα Βαλαὰμ
καὶ

t) ἔπεσεν βαλαάμ.

καὶ ποσέθετο ἔτι μαστίξαι αὐτήν· 26 καὶ προσέ-
θετο ὁ ἄγγελος τοῦ θεοῦ, καὶ ἀπελθὼν ὑπέστη
ἐν τόπῳ στενῷ εἰς ὃν οὐκ ἦν ἐκκλεῖναι δεξιὰν, οὐδὲ
ἀριστεράν· 27 καὶ ἰδοῦσα ἡ ὄνος τὸν ἄγγελον τοῦ
θεοῦ, συνεκάθησεν ὑποκάτω Βαλαὰμ καὶ ἐθυμώ-
θη Βαλαὰμ καὶ ἔτυπτεν τὴν ὄνον τῇ ῥάβδῳ· 28 καὶ
ἤνοιξεν ὁ θεὸς τὸ στόμα τῆς ὄνου, καὶ εἶπεν τῷ Βα-
λαάμ, τί πεποίηκά σοι, ὅτι πέπαικάς με τοῦτο τρίτον·
29 Καὶ εἶπεν Βαλαὰμ τῇ ὄνῳ, ὅτι ἐμπέπαιχάς μοι,
καὶ εἰ εἶχον μάχαιραν ἐν τῇ χειρί μου, ἤδη ἂν
ἐξεκέντησά σε· 30 καὶ λέγει ἡ ὄνος τῷ Βαλαάμ·
οὐκ ἐγὼ ἡ ὄνος σου, ἐφ᾽ ἧς ἐπαίβενες ἀπὸ νεότη-
τός σου, ἕως τῆς σήμερον ἡμέρας· μὴ ὑπερορώσει
ὑπεριδοῦσα ἐποίησά σοι οὕτως u)· ὁ δὲ εἶπεν, οὐχί·
31 ἀπεκάλυψεν δὲ ὁ θεὸς τοὺς ὀφθαλμοὺς Βαλαὰμ
καὶ ὁρᾷ τὸν ἄγγελον τοῦ θεοῦ ἀνθεστηκότα ἐν τῇ
ὁδῷ, καὶ τὴν μάχαιραν x) ἐσπασμένην ἐν τῇ
χειρὶ αὐτοῦ· καὶ κύψας, προσεκύνησεν τῷ προσ-
ώπῳ αὐτοῦ· 32 καὶ λέγει αὐτῷ ὁ ἄγγελος τοῦ θεοῦ·
διατί ἐπάταξας τὴν ὄνον σου τοῦτο τρίτον· καὶ ἰδοὺ
ἐγὼ ἐξῆλθον εἰς διαβολήν y) σου, ὅτι οὐκ ἀστεία
ἡ ὁδός σου ἐναντίον μου· καὶ ἰδοῦσα με ἡ ὄνος
ἐξέκλεινεν ἀπ᾽ ἐμοῦ τρίτον τοῦτο· 33 καὶ εἰ μὴ ἐξέ-
κλεινεν ἀπ᾽ ἐμοῦ, νῦν, σὲ μὲν, ἀπέκτεινα· ἐκεί-
νην δὰν περιεποιησάμην· 34 καὶ εἶπεν Βαλαὰμ τῷ
ἀγγέλῳ κυρίου· ἡμάρτηκα, οὐ γὰρ ἠπιστάμην ὅτι
σύ μοι ἀνθέστηκας εἰς συνάντησίν μοι ἐν τῇ ὁδῷ·
καὶ νῦν, εἰ μὴ σοι ἀρέσκει z) ἀποστραφήσομαι·
35 καὶ εἶπεν ὁ ἄγγελος τοῦ θεοῦ πρὸς Βαλαάμ·

 συνπο-

u) τοῦτο. x) ῥομφαίαν.
y) ΣΥ. ἐναντιοῦσθαι. ΘΕ. ἀντίκεισθαι.
z) δοκεῖ.

συνπορεύθητι μετὰ τῶν ἀνθρώπων, πλὴν, τὸ ῥῆ-
μα ὃ ἐὰν εἴπω πρὸς σὲ, τȣ̃το φυλάξῃ a) λαλῆσαι·
Καὶ ἐπορεύθη Βαλαὰμ μετὰ τῶν ἀρχόντων Βαλὰκ·
36 καὶ ἀκȣ́σας Βαλὰκ ὅτι ἥκει Βαλαὰμ, ἐξῆλ-
θεν εἰς συνάντησιν αὐτῷ εἰς πόλιν Μωὰβ ἥ ἐςιν
ἐκ μέρȣς τῶν ὁρίων Ἀρνῶν ὅ ἐςιν ἐκ μέρȣς τῶν
•161 ὁρίων· 37 καὶ εἶπεν * Βαλὰκ πρὸς Βαλαάμ· ȣ̓χὶ
ἀπέςειλα πρὸς σὲ καλέσαι σε, διατί ȣ̓κ ἤρχȣ
πρός με· ὄντως ȣ̓ δυνήσομαι τιμῆσαί σε· 38 καὶ
εἶπεν Βαλαὰμ πρὸς Βαλάκ· ἰδȣ̀ ἥκω πρὸς σέ·
νῦν δυνατὸς ἔσομαι λαλῆσαί τι τὸ ῥῆμα, ὃ ἐὰν
ἐμβάλῃ ὁ θεὸς εἰς τὸ ςόμα μȣ τȣ̃το λαλήσω b)·
39 Καὶ ἐπορεύθη Βαλαὰμ μετὰ Βαλὰκ, καὶ ἦλθον
εἰς πόλεις ἐπαύλεων, 40 καὶ ἔθυσεν Βαλὰκ πρό-
βατα καὶ μόσχȣς· καὶ ἀπέςειλεν τῷ Βαλαὰμ
καὶ τοῖς ἄρχȣσιν τοῖς μετ᾽ αὐτȣ̃, 41 καὶ ἐγενήθη
πρωῒ, καὶ παραλαβὼν Βαλὰκ τὸν Βαλαὰμ
ἀνεβίβασεν αὐτὸν ἐπὶ τὴν ςήλην τȣ̃ Βααλ, καὶ
ἔδειξεν αὐτῷ ἐκεῖθεν μέρος τί τȣ̃ λαȣ̃, XXIII. 1 καὶ
εἶπεν Βαλαὰμ τῷ Βαλάκ· οἰκοδόμησόν μοι ἐν-
ταῦθα, ἑπτὰ βωμȣ́ς· καὶ ἑτοίμασόν μοι ἐνταῦ-
θα ἑπτὰ μόσχȣς, καὶ ἑπτὰ κριȣ́ς· 2 καὶ ἐποίη-
σεν Βαλὰκ ὃν τρόπον εἶπεν αὐτῷ Βαλαάμ καὶ
ἀνήνεγκεν μόσχον καὶ κριὸν ἐπὶ τὸν βωμόν· 3 καὶ
εἶπεν Βαλαὰμ πρὸς Βαλάκ· παράςηθι ἐπὶ τῆς
θυσίας σȣ, καὶ πορεύσομαι εἴ μοι φανεῖται ὁ
θεὸς ἐν συναντήσει, καὶ ῥῆμα ὃ ἄν μοι δείξῃ
ἀναγγελῶ σοι· καὶ παρέςη Βαλὰκ ἐπὶ τῆς θυ-
σίας αὐτȣ̃· 4 καὶ Βαλαὰμ ἐπορεύθη ἐπερωτῆσαι
τὸν θεὸν, καὶ ἐπορεύθη εὐθείαν· καὶ ἐφάνη ὁ
θεὸς τῷ Βαλαὰμ καὶ εἶπεν πρὸς αὐτὸν Βαλαάμ·
τȣ̀ς

a) ποιήσεις. b) φυλάξομαι λαλησαι.

τȣ̀ς ἑπτὰ βωμȣ̀ς ἡτοίμασα, καὶ ἀνεβίβασα μό-
σχον καὶ κριὸν ἐπὶ τὸν βωμόν· 5 καὶ ἐνέβαλεν ὁ
Θεὸς ῥῆμα εἰς τὸ στόμα Βαλαὰμ καὶ εἶπεν· ἐπι-
στραφεὶς πρὸς Βαλὰκ ȣ̔́τως λαλήσεις· 6 καὶ
ἀπεστράφη πρὸς αὐτὸν, καὶ ὅδε ἐφεστήκει
ἐπὶ τῶν ὁλοκαυτωμάτων αὐτȣ̃, καὶ πάν-
τες οἱ ἄρχοντες Μωὰβ μετ᾽ αὐτȣ̃·
Καὶ ἐγενήθη πνεῦμα Θεȣ̃ ἐπ᾽ αὐτῷ· 7 καὶ ἀναλα- ΜΑ
βὼν τὴν παραβολὴν αὐτȣ̃ εἶπεν· ἐκ Μεσοποτα-
μίας μετεπέμψατό με Βαλὰκ βασιλεὺς Μωὰβ
ἐξ ὀρέων ἀπ᾽ ἀνατολῶν λέγων· δεῦρο ἄρασαί
μοι τὸν Ἰακὼβ καὶ δεῦρο ἐπικατάρασαί μοι τὸν
Ἰσραήλ· 8 τί ἀράσομαι ὃν μὴ ἀρᾶται ὁ κύριος·
ἢ τί καταράσομαι, ὃν μὴ κατήραται ὁ Θεός·
9 ὅτι * ἀπὸ κορυφῆς ὀρέων, ὄψομαι αὐτὸν, καὶ *162
ἀπὸ βȣνῶν προσνοήσω αὐτὸν, ἰδȣ̀ λαὸς μόνος
κατοικήσει, καὶ ἐν ἔθνεσιν ȣ̓ συλλογισθήσεται·
10 τίς ἐξηκριβάσατο τὸ σπέρμα Ἰακὼβ καὶ τίς
ἐξαριθμηθήσεται δήμȣς Ἰσραήλ· ἀποθάνοι ἡ
ψυχή μȣ ἐν ψυχαῖς δικαίων, καὶ γένοιτο
τὸ σπέρμα μȣ, ὡς τὸ σπέρμα τȣ́των·
11 Καὶ εἶπεν Βαλὰκ πρὸς Βαλαάμ· τί ἐποίησάς μοι· Μ
εἰς κατάρασιν ἐχθρῶν μȣ κέκληκά σε· καὶ ἰδȣ̀
εὐλόγησας εὐλογίαν· 12 καὶ εἶπεν Βαλαὰμ πρὸς
Βαλάκ· ȣ̓χὶ, ὅσα ἂν ἐμοὶ βάλῃ ὁ Θεὸς εἰς τὸ
στόμα μȣ, τȣ̃το φυλάξω λαλῆσαι· 13 καὶ εἶπεν
πρὸς αὐτὸν Βαλάκ· δεῦρο ἔτι μετ᾽ ἐμȣ̃ εἰς τό-
πον ἄλλον, ἐξ ȣ̃ ȣ̓κ ὄψῃ αὐτὸν ἐκεῖθεν, ἀλλὴ
μέρος τί αὐτȣ̃ ὄψῃ, πάντας δὲ ȣ̓ μὴ ἴδῃς, καὶ
κατάρασαί μοι αὐτὸν ἐκεῖθεν· 14 καὶ παρέλαβεν
αὐτὸν εἰς ἀγρȣ̃ σκοπιὰν ἐπὶ κορυφὴν λελαξευ-
F 3 μένȣ,

ΜΑ ΕΥΛΟΓΙΑΙ ΒΑΛΑΑΜ.

μένου, καὶ ᾠκοδόμησεν ἐκεῖ ἑπτὰ βωμοὺς, καὶ
ἀνεβίβασεν μόσχον καὶ κριὸν ἐπὶ τὸν βωμόν·
15 καὶ εἶπεν Βαλαὰμ πρὸς Βαλάκ· παράστηθι
ἐπὶ τῆς θυσίας σου· ἐγὼ δὲ πορεύσομαι ἐπερω-
τῆσαι τὸν θεόν· 16 καὶ συνήντησεν ὁ θεὸς τῷ Βα-
λαὰμ καὶ ἐνέβαλεν ῥῆμα εἰς τὸ στόμα αὐτοῦ,
καὶ εἶπεν· ἀποστράφητι πρὸς Βαλὰκ, καὶ τάδε
λαλήσεις· 17 καὶ ἀπεστράφη πρὸς αὐτὸν, καὶ ὅδε
ἐφεστήκει ἐπὶ τῆς ὁλοκαυτώσεως αὐτοῦ, καὶ πάν-
τες οἱ ἄρχοντες Μωὰβ μετ' αὐτοῦ· καὶ εἶ-
πεν αὐτῷ Βαλὰκ τί ἐλάλησεν κύριος· 18 καὶ
c) ἀναλαβὼν d) τὴν παραβολὴν αὐτοῦ, εἶπεν·
ἀνάστηθι Βαλὰκ καὶ ἄκουε· ἐνώτισαι μάρτυς υἱὸς
Σεπφώρ· 19 οὐχ' ὡς ἄνθρωπος ὁ θεὸς διαρτηθῆ-
ναι e), οὐδὲ ὡς υἱὸς ἀνθρώπου ἀπηληθεῖναι, αὐτὸς
εἴπας, οὐχὶ ποιήσει· λαλήσει καὶ οὐχὶ ἐμμενεῖ·
20 ἰδοὺ εὐλογεῖν παρείλημμαι, εὐλογήσω καὶ οὐ μὴ
ἀποστρέψω· 21 οὐκ' ἔσται μόχθος ἐν Ἰακὼβ, οὐδὲ
ὀφθήσεται πόνος ἐν Ἰσραήλ· κύριος ὁ θεὸς αὐτοῦ
μετ' αὐτοῦ, τὰ ἔνδοξα ἀρχόντων ἐν αὐτῷ· 22 ὁ θεὸς
ὁ ἐξαγαγὼν αὐτὸν ἐξ Αἰγύπτου, ὡς δόξα μο-
*163 νοκέρωτος αὐτῷ· 23 οὐ γὰρ * ἐστιν οἰωνισμὸς ἐν Ἰα-
κὼβ οὐδὲ μαντεία ἐν Ἰσραήλ· κατὰ καιρὸν ῥηθή-
σεται Ἰακὼβ καὶ τῷ Ἰσραὴλ τί ἐπιτελέσει ὁ θεός·
24 ἰδοὺ λαὸς ὡς σκύμνος ἀναστήσεται, καὶ ὡς λέων
γαυριωθήσεται· οὐ κοιμηθήσεται ἕως φάγῃ θήραν,
καὶ αἷμα τραυματιῶν πίεται· 25 καὶ εἶπεν Βαλὰκ
πρὸς Βαλαάμ, οὔτε κατάραις καταράσῃ μοι αὐ-
τὸν, οὔτε εὐλογῶν μὴ εὐλογήσῃς αὐτόν· 26 ἀπο-
κριθεὶς Βαλαὰμ, εἶπεν τῷ Βαλάκ· οὐκ' ἐλάλησά
σοι

c) CH εὐλογίαι ἄλλαι. d) δὲ βαλαὰμ.
e) AK. διαψεύσεται. CT. ἵνα διαψεύσηται.

σοι λέγων, τὸ ῥῆμα ὃ ἐὰν λαλήσῃ ὁ Θεὸς,
τῦτο ποιήσω· 27 καὶ εἶπεν Βαλὰκ πρὸς Βαλαάμ·
δεῦρο παραλάβω σε, εἰς τόπον ἄλλον, εἰ ἀρέσει
τῷ Θεῷ, καὶ κατάρασαί μοι αὐτὸν ἐκεῖθεν·
28 καὶ παρέλαβεν Βαλὰκ τὸν Βαλαὰμ ἐπὶ τὴν
κορυφὴν τῦ Φογὼρ f), τὸ παρατεῖνον εἰς τὴν ἔρη-
μον· 29 καὶ εἶπεν Βαλαὰμ πρὸς Βαλάκ· οἰκοδό-
μησόν μοι ὧδε ἑπτὰ βωμὺς, καὶ ἑτοίμασόν μοι
ὧδε ἑπτὰ μόσχυς καὶ ἑπτὰ κριύς· 30 καὶ ἐποίη-
σεν Βαλὰκ καθάπερ εἶπεν αὐτῷ Βαλαάμ· καὶ
ἀνήνεγκεν μόσχον καὶ κριὸν ἐπὶ τὸν βωμόν·
XXIIII. 1 Καὶ ἰδὼν Βαλαὰμ ὅτι καλόν ἐςιν ἔναντι κυρίῳ
εὐλογεῖν τὸν Ἰσραὴλ ὐκ ἐπορεύθη κατὰ τὸ εἰωθὸς
εἰς συνάντησιν τοῖς οἰωνοῖς· καὶ ἀπέςρεψεν τὸ πρό
σωπον αὐτῦ εἰς τὴν ἔρημον· 2 καὶ ἐξάρας Βαλαὰμ
τὺς ὀφθαλμὺς αὐτῦ, καθορᾷ τὸν Ἰσραὴλ ἐςρα-
τοπεδευκότα κατὰ φυλὰς, καὶ ἐγένετο πνεῦμα
Θεῦ ἐπ' αὐτῷ, 3 καὶ ἀναλαβὼν τὴν παραβολὴν
αὐτῦ, εἶπεν g)· Φησὶν Βαλαὰμ υἱὸς Βεὼρ, φησὶν
ὁ ἄνθρωπος ὁ ἀληθινὸς ὁρῶν· 4 Φησὶν ἀκύων λό-
για ἰσχυρῦ, ὅςις ὅρασιν Θεῦ ἴδεν, ἐν ὕπνῳ
ἀποκεκαλυμμένοι οἱ ὀφθαλμοὶ αὐτῦ·
5 Ὡς καλοὶ οἱ οἶκοι συ Ἰακώβ· αἱ σκηναί συ Ἰσ- MA
ραήλ· 6 ὡσεὶ νάπαι σκιάζυσαι, καὶ ὡσεὶ παρά-
δεισοι ἐπὶ ποταμῶν, καὶ ὡσεὶ σκηναὶ, ἃς ἔπηξεν
κύριος· ὡσεὶ κέδροι, παρ' ὕδατα· 7 ἐξελεύσεται
ἄνθρωπος ἐκ τῦ σπέρματος αὐτῦ, καὶ κυριεύσει
ἐθνῶν πολλῶν, καὶ ὑψωθήσεται * ἢ Γὼγ h) *154
βασι-



f) Φογὼρ ἑρμηνεύεται ἡδυσμὸς, ἢ ςόματος δέρμα, τυτέςιν ἄκρο τῆς φιληδονίας κꝫ' νεκρότης λόγυ, ἐξ ὧν ἐπειρᾶτο ἀρᾶσθαι ὁ βαλαὰμ τὸν ηὐλογημένον λαὸν τῦ Θεῦ.

g) εὐλογίαι ἄλλαι.

h) ΑΚ. CΥ. υπεργωγ'.

βασιλεία αὐτοῦ, καὶ αὐξηθήσεται ἡ βασιλεία αὐ-
τοῦ. 8 καὶ ὁ θεὸς ὡδήγησεν αὐτὸν ἐξ Αἰγύπτου· ὡς δό-
ξα μονοκέρωτος αὐτῷ, ἔδεται ἔθνη ἐχθρῶν αὐτοῦ,
καὶ τὰ πάχη αὐτῶν ἐκμυελιεῖ· καὶ ταῖς βολή-
σιν αὐτοῦ κατατοξεύσει ἐχθρόν· 9 κατακλιθεὶς
ἀνεπαύσατο, ὡς λέων καὶ ὡς σκύμνος τίς ἀνα-
στήσει αὐτόν· οἱ εὐλογοῦντές σε, ηὐλόγηνται· καὶ
οἱ καταρώμενοί σε, κεκατήρανται· 10 καὶ ἐθυμώ-
θη Βαλὰκ ἐπὶ Βαλαὰμ καὶ συνεκρότησεν ταῖς
χερσὶν αὐτοῦ· καὶ εἶπεν Βαλὰκ πρὸς Βαλαάμ·
καταράσασθαι τὸν ἐχθρόν μου κέκληκά σε, καὶ
ἰδοὺ εὐλογῶν ηὐλόγησας τοῦτο τρίτον· 11 νῦν οὖν,
φεῦγε εἰς τὸν τόπον σου· εἶπα τιμήσω σε, καὶ
νῦν ἐστέρησέν σε κύριος τῆς δόξης· 12 καὶ εἶπεν Βα-
λαὰμ πρὸς Βαλάκ· οὐχὶ τοῖς ἀγγέλοις σου οὓς
ἀπέστειλας πρός με ἐλάλησα λέγων· 13 ἐάν μοι
δῷ Βαλὰκ πλήρη τὸν οἶκον αὐτοῦ ἀργυρίου καὶ
χρυσίου, οὐ δυνήσομαι παραβῆναι τὸ ῥῆμα κυρίου
ποιῆσαι αὐτὸ καλὸν i) ἢ πονηρὸν παρ' ἐμαυτοῦ·
ὅσα ἐὰν εἴπῃ μοι ὁ θεὸς, ταῦτα ἐρῶ· 14 καὶ
νῦν ἰδοὺ ἀποτρέχω εἰς τὸν τόπον μου· δεῦρο συμ-
βουλεύσω σοι, τί ποιήσει ὁ λαὸς οὗτος τὸν λαόν
σου, ἐπ' ἐσχάτου τῶν ἡμερῶν· 15 καὶ ἀνα-
λαβὼν τὴν παραβολὴν αὐτοῦ εἶπεν· φησὶν Βα-
λαὰμ k) υἱὸς Βεὼρ, φησὶν ὁ ἄνθρωπος ὁ ἀλη-
θινὸς ὁρῶν, 16 ἀκούων λόγια θεοῦ, ἐπιστάμενος ἐπι-
στήμην ὑψίστου καὶ ὅρασιν θεοῦ ἰδὼν, ἐν ὕπνῳ
ἀποκεκαλυμμένοι οἱ ὀφθαλμοὶ αὐτοῦ· 17 δείξω αὐ-
τῷ καὶ οὐχὶ νῦν μακαρίζω καὶ οὐκ ἐγγίζει· ἀνα-
τελεῖ ἄστρον ἐξ Ἰακὼβ καὶ ἀναστήσεται ἄνθρω-
πος ἐξ Ἰσραὴλ, καὶ θραύσει τοὺς ἀρχηγοὺς Μωὰβ
καὶ

i) μικρὸν ἢ μέγα. k) μάταιος λαός.

καὶ προνομεύσει πάντας τὰς υἱὰς Σήθ. [18] καὶ
ἔσαι Ἐδὼμ κληρονομία, καὶ ἔσαι κληρονομία
Ἡσαῦ ὁ ἐχθρὸς αὐτᾶ, καὶ Ἰσραὴλ ἐποίησεν ἐν
ἰσχύει, [19] καὶ ἐξεγερθήσεται ἐξ Ἰακὼβ καὶ ἀπο-
λεῖ σωζόμενον ἐκ πόλεως. [20] καὶ ἰδὼν τὸν Ἀμα-
λὴκ καὶ ἀναλαβὼν τὴν παραβολὴν αὐτᾶ, εἶπεν·
ἀρχὴ ἐθνῶν Ἀμαλὴκ καὶ * τὸ σπέρμα αὐτῶν* 165
ἀπολεῖται· [21] καὶ ἰδὼν τὸν Κενναῖον, καὶ ἀναλα-
βὼν τὴν παραβολὴν αὐτᾶ, εἶπεν· ἰσχυρὰ ἡ κατ-
οικία σᾶ, καὶ ἐὰν θῇς ἐν πέτρᾳ τὴν νοσσιάν σα,
[22] καὶ ἐὰν γένηται τῷ Βεὼρ l) νοσσιὰ πανυργίας,
Ἀσσύριοί σε αἰχμαλωτεύσασιν. [23] καὶ ἰδὼν το νωὶ
καὶ ἀναλαβὼν τὴν παραβολὴν αὐτᾶ, εἶπεν· ὢ
ὢ τίς ζήσεται· ὅτ' ἂν θῇ ταῦτα ὁ θεὸς ἐπὶ τῆς
γῆς, [24] καὶ ἐξελεύσεται ἐκ χειρῶν χετεὶν καὶ
κακώσασιν Ἀσσὰρ, καὶ κακώσασιν Ἑβραίας,
καὶ αὐτοὶ ὁμοθυμαδὸν m) ἀπολᾶνται, [25] καὶ
ἀνασὰς Βαλαὰμ ἀπῆλθεν ἀποσραφεὶς εἰς τὸν
τόπον αὐτᾶ, καὶ Βαλὰκ ἀπῆλθεν πρὸς ἑαυτόν.
XXV. [1] Καὶ κατέλυσεν Ἰσραὴλ ἐν Σαττεὶν, καὶ ἐβε- ΜΒ
βηλώθη ὁ λαὸς ἐκπορνεῦσαι εἰς τὰς θυγατέρας
Μωὰβ [2] καὶ ἐκάλεσαν αὐτὰς εἰς τὰς θυσίας τῶν
εἰδώλων αὐτῶν· καὶ ἔφαγεν ὁ λαὸς τῶν θυσιῶν
αὐτῶν, καὶ προσεκύνησαν τοῖς εἰδώλοις αὐτῶν,
[3] καὶ ἐτελέσθησαν n) τῷ Βεελφεγὼρ, καὶ ὠργίσθη
θυμῷ κύριος τῷ Ἰσραὴλ, [4] καὶ εἶπεν κύριος πρὸς

F 5 Μωϋ-

l) δερμάτινος.

m) εἰς τὸν τόπον αὐτᾶ λέγει, ὰ τὴν χώραν αὐτᾶ καὶ πατρίδα, ἀλλὰ τὸ κατάλυμα ὅπα κατέλυσεν ἐλθὼν πρὸς βαλὰκ εἰς πόλεις ἐπαύλεων· ὡς ἀνωτέρω φησιν, ἐπεὶ πῶς ἀνερεῖται μετὰ βαλακ ὑπὸ τῶν ἰσραηλιτῶν ὡς κατωτέρω ἐν τῷδε τῷ συντάγματι ἱσόρηται.

n) ΑΚ. ΘΕ. ἐζευγίσθησαν.

Μωϋσῆ· λάβε τοὺς ἀρχηγοὺς τοῦ λαοῦ, καὶ παρα-
δίγμάτησον o) αὐτοὺς τῷ κυρίῳ, κατέναντι τοῦ
ἡλίου, καὶ ἀποστραφήσεται ὀργὴ θυμοῦ κυρίου ἀπὸ
Ἰσραήλ· [5] καὶ εἶπεν Μωϋσῆς ταῖς φυλαῖς Ἰσρα-
ὴλ· ἀποκτείνατε ἕκαστος τὸν οἰκεῖον αὐτοῦ p) τὸν
τετελεσμένον τῷ Βεελφεγώρ· [6] καὶ ἰδοὺ ἄνθρωπος
τῶν υἱῶν Ἰσραὴλ ἐλθὼν προσήγαγεν τὸν ἀδελ-
φὸν αὐτοῦ πρὸς τὴν Μαδιανῖτιν ἐναντίον Μωϋσῆ,
καὶ ἐναντίον πάσης συναγωγῆς υἱῶν Ἰσραὴλ,
αὐτοὶ δὲ ἔκλαιον παρὰ τὴν θύραν τῆς σκηνῆς
τοῦ μαρτυρίου· [7] καὶ ἰδὼν Φινεὲς υἱὸς Ἐλεάζαρ υἱοῦ
Ἀαρὼν τοῦ ἱερέως, ἐξανέστη ἐκ μέσου τῆς συνα-
γωγῆς, καὶ λαβὼν σιρομάστην q) ἐν τῇ χειρὶ,
[8] εἰσῆλθεν ὀπίσω τοῦ ἀνθρώπου τοῦ Ἰσραηλίτου εἰς
τὴν κάμινον r), καὶ ἀπεκέντησεν ἀμφοτέρους, τόν
τε ἄνθρωπον τὸν Ἰσραηλίτην καὶ τὴν γυναῖκα,
διὰ τῆς μήτρας αὐτῆς· καὶ ἐπαύσατο ἡ πληγὴ
*166 ἀπὸ τῶν υἱῶν Ἰσραὴλ, [9] καὶ ἐγένοντο οἱ τεθνη-
κότες ἐν τῇ πληγῇ, τέσσαρες καὶ εἴκοσι χιλιά-
δες· [10] καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν λέγων·
[11] Φινεὲς υἱὸς Ἐλεάζαρ, υἱοῦ Ἀαρὼν τοῦ ἱερέως,
κατέπαυσεν τὸν θυμόν μου ἀπὸ υἱῶν Ἰσραὴλ,
ἐν τῷ ζηλῶσαί μου τὸν ζῆλον ἐν αὐτοῖς· καὶ οὐκ
ἐξανήλωσα τοὺς υἱοὺς Ἰσραὴλ ἐν τῷ ζήλῳ μου
[12] οὕτως εἶπον· ἰδοὺ ἐγὼ δίδωμι αὐτῷ, τὴν διαθήκην
μου διαθήκην εἰρήνης, [13] καὶ ἔσται αὐτῷ καὶ τῷ
σπέρματι αὐτοῦ μετ' αὐτὸν, διαθήκη ἱερατείας
αἰωνία, ἀνθ' ὧν ἐζήλωσε τῷ θεῷ αὐτοῦ· καὶ
ἐξειλάσατο περὶ τῶν υἱῶν Ἰσραήλ· [14] τὸ δὲ ὄνομα
τοῦ

o) ΑΚ. ἀνάπηξον. CΤ. κρέμασον.
p) CΤ. τοὺς μηνυθέντας.
q) ῥομφαίαν. ΑΚ. κοντὸν δόρυ ῥομφαίαν.
r) ΑΚ. το τεγος. CΤ. τὸ πορνεῖον.

τȣ̃ ἀνθρώπȣ τȣ̃ Ἰσραηλίτȣ τȣ̃ πεπληγότος, ὃς
ἐπλήγη μετὰ τῆς Μαδιανίτιδος Ζαμβρὶ, υἱὸς
Σαλὼ, ἄρχων οἴκȣ πατριᾶς Συμεών· [15] καὶ ὄνο-
μα τῇ γυναικὶ τῇ Μαδιανίτιδι τῇ πεπληγυίᾳ
Χασβεὶ, θυγάτηρ Σὺρ, ἄρχοντος ἔθνȣς Σομ-
μὼθ' οἴκȣ πατριᾶς ἐςὶν τῶν Μαδιάμ· [16] καὶ ἐλά-
λησεν κύριος πρὸς Μωϋσῆν λέγων· λάλησον τοῖς
υἱοῖς Ἰσραὴλ λέγων· [17] ἐχθραίνετε τοῖς Μαδιη-
ναίοις, καὶ πατάξατε αὐτȣ̀ς, [18] ὅτι ἐχθραίνȣσιν
αὐτοὶ ὑμῖν ἐν δολιότητι, ὅσα δολιȣ̃σιν ὑμᾶς διὰ
Φογὼρ, καὶ διὰ Χασβεὶ θυγατέρα ἄρχοντος
Μαδιὰμ ἀδελφὴν αὐτῶν τὴν πεπληγυῖαν ἐν
τῇ ἡμέρᾳ τῆς πληγῆς διὰ Φογώρ·
XXVI. [1] Καὶ ἐγένετο μετὰ τὴν πληγὴν καὶ ἐλάλησεν
κύριος πρὸς Μωϋσῆν, καὶ Ἐλεάζαρ τὸν ἱερέα
λέγων· [2] λάβε τὴν ἀρχὴν πάσης συναγωγῆς υἱῶν
Ἰσραὴλ ἀπὸ εἰκοσαετȣ̃ς καὶ ἐπάνω κατ' οἴκȣς
πατριῶν αὐτῶν, πᾶς ὁ ἐκπορευόμενος παρατάξα-
σθαι ἐν Ἰσραήλ· [3] καὶ ἐλάλησεν Μωϋσῆς καὶ
Ἐλεάζαρ ὁ ἱερεὺς αὐτοῖς μετ' αὐτῶν ἐν Ἀρα-
βὼθ' Μωὰβ' ἐπὶ τȣ̃ Ἰορδάνȣ κατὰ Ἰερειχὼ λέ-
γων· [4] ἀπὸ εἰκοσαετȣ̃ς καὶ ἐπάνω ὃν τρόπον συν-
έταξεν κύριος τῷ Μωϋσῇ· καὶ οἱ υἱοὶ Ἰσραὴλ οἱ
ἐξελθόντες ἐξ Αἰγύπτȣ, [5] Ῥȣβὴν πρωτότοκος
Ἰσραήλ· υἱοὶ δὲ Ῥȣβὴν, Ἐνὼχ' καὶ δῆμος τȣ̃
Ἐνὼχ' τῷ * Φαλλȣ̃, δῆμος τȣ̃ Φαλλȣῒ, [6] τῷ *167
Ἀσρὼν, δῆμος τȣ̃ Ἀσρωνὶ, τῷ Χαρμί καὶ δῆ-
μος τȣ̃ Χαρμί· [7] ȣ̃τοι δῆμοι Ῥȣβήν· καὶ ἐγένετο
ἡ ἐπίσκεψις αὐτῶν, τρεῖς καὶ τεσσεράκοντα χι-
λιάδες καὶ ἑπτακόσιοι καὶ τριάκοντα· [8] καὶ οἱ
υἱοὶ

ΜΓ ΑΛΛΟΣ ΑΡΙΘΜΟΣ ΤΩΝ ΥΙΩΝ ΙΗΛ ΑΠΟ
ΕΙΚΟΣΑΕΤΟΥΣ ΚΑΙ ΕΠΑΝΩ.

υἱοὶ Φαλλοῦ Ἐλιάβ· 9 καὶ οἱ υἱοὶ Ἐλιάβ, Να-
μουὴλ καὶ Δαθὰν καὶ Ἀβιρών· οὗτοι ἐπίκλητοι
τῆς συναγωγῆς· οὗτοί εἰσιν οἱ ἐπισυστάντες ἐπὶ
Μωϋσὴν καὶ Ἀαρὼν ἐν τῇ συναγωγῇ Κόρε, ἐν
τῇ ἐπισυστάσει κυρίου· 10 καὶ ἀνοίξασα ἡ γῆ τὸ
στόμα αὐτῆς, κατέπιεν αὐτοὺς καὶ Κόρε ἐν τῷ
θανάτῳ τῆς συναγωγῆς αὐτοῦ, ὅτε κατέφαγεν
τὸ πῦρ τοὺς πεντήκοντα καὶ διακοσίους, καὶ ἐγε-
νήθησαν ἐν σημείῳ· 11 οἱ δὲ υἱοὶ Κόρε οὐκ ἀπέθα-
νον· 12 καὶ οἱ υἱοὶ Συμεὼν, δῆμος τῶν υἱῶν
Συμεὼν τῷ Ναμουὴλ δῆμος ὁ Ναμουηλί· τῷ Ἰα-
μὶν, δῆμος ὁ Ἰαμινεί· τῷ Ἰαχὶν, δῆμος ὁ Ἰα-
χινεί· 13 τῷ Ζαρὰ, δῆμος ὁ Ζαραΐ· τῷ Σαοὺλ
δῆμος ὁ Σαουλί· 14 οὗτοι δῆμοι Συμεὼν, ἐκ τῆς
ἐπισκέψεως αὐτῶν, δύο καὶ εἴκοσι χιλιάδες καὶ
διακόσιοι· 15 υἱοὶ δὲ Ἰούδα, Ἢρ, καὶ Αὐνὰν, καὶ
Σηλὼμ, καὶ Φαρὲς, καὶ Ζαρά· καὶ ἀπέθανεν
Ἢρ, καὶ Αὐνὰν, ἐν γῇ Χανάαν· 16 καὶ ἐγένοντο
οἱ υἱοὶ Ἰούδα κατὰ δήμους αὐτῶν τῷ Σηλὼν, δῆ-
μος ὁ Σηλωνεί, τῷ Φαρὲς, δῆμος ὁ Φαρές· τῷ
Ζαρὰ, δῆμος ὁ Ζαραΐ· 17 καὶ ἐγένοντο υἱοὶ
Φαρὲς τῷ Ἀσρών· δῆμος ὁ Ἀσρωνί· τῷ Ἰα-
μουὴλ, δῆμος ὁ Ἰαμουηλί· 18 οὗτοι δῆμοι τῷ
Ἰούδα, κατὰ τὴν ἐπίσκεψιν αὐτῶν, ἓξ
καὶ ἑβδομήκοντα χιλιάδες καὶ πεντακόσιοι·
19 Καὶ υἱοὶ Ἰσσάχαρ, κατὰ δήμους αὐτῶν τῷ Θωλᾶ,
δῆμος ὁ Θωλαΐ· τῷ Φουᾶ, δῆμος ὁ Φουαΐ· 20 τῶν
Ἰασοὺβ δῆμος ὁ Ἰασουβί, τῷ Ἀμμρὰμ δῆμος
ὁ Ἀμμραμί· 21 οὗτοι δῆμοι Ἰσσάχαρ, ἐξ ἐπισκέ-
ψεως αὐτῶν τέσσαρες καὶ ἑξήκοντα χιλιάδες
καὶ τριακόσιοι· 22 υἱοὶ Ζαβουλὼν κατὰ δήμους αὐ-
τῶν τῷ Σαρὲδ δῆμος ὁ Σαρεδί· τῷ Ἀλλῶν,

δῆμος

δῆμος ὁ Ἀλλωνί· τῷ Ἀλλὴλ, δῆμος * ὁ Ἀλλη- *168
λί· 23 ὗτοι δῆμοι Ζαβυλῶν ἐξ ἐπισκέψεως αὐ-
τῶν, ἑξήκοντα χιλιάδες καὶ πεντακόσιοι·
24 Υἱοὶ Γὰδ κατὰ δήμυς αὐτῶν, τῷ Σαφὼν, δῆμος ὁ
Σαφωνί· τῷ Ἀγγὶ, δῆμος ὁ Ἀγγί· τῷ Συνὶ, δῆ-
μος ὁ Συνί· 25 τῷ Ἀζαινὶ, δῆμος ὁ Ἀζαινί· τῷ
Ἀδδὶ, δῆμος ὁ Ἀδδί· 26 τῷ Ἀροαδὶ, δῆμος ὁ Ἀροα-
δί· τῷ Ἀριὴλ δῆμος ὁ Ἀριηλί· 27 ὗτοι οἱ δῆμοι
Γὰδ ἐξ ἐπισκέψεως αὐτῶν, τέσσαρες καὶ τεσ-
σεράκοντα χιλιάδες καὶ πεντακόσιοι·
28 Υἱοὶ Ἀσὴρ, κατὰ δήμυς αὐτῶν, τῷ Ἰαμεὶν, δῆ-
μος ὁ Ἰαμεινί· τῷ Ἰεσυὶ, δῆμος ὁ Ἰεσυί· τῷ
Βαρεῖα, δῆμος ὁ Βαριαί· 29 τῷ Χοβὲρ, δῆμος ὁ
Χοβερί· τῷ Μελχιὴλ, δῆμος ὁ Μελχιηλί· 30 καὶ
τὸ ὄνομα τῆς θυγατρὸς Ἀσὴρ, Σάρα· 31 ὗτοι οἱ
δῆμοι Ἀσὴρ, ἐξ ἐπισκέψεως αὐτῶν, τρεῖς
καὶ τεσσεράκοντα χιλιάδες καὶ ἑξακόσιοι·
32 Υἱοὶ Ἰωσὴφ, κατὰ δήμυς αὐτῶν Μανασσῆ καὶ
Ἐφραίμ, 33 υἱοὶ Μανασσῆ, τῷ Μαχεὶρ, δημος ὁ
Μαχειρί· καὶ Μαχεὶρ, ἐγέννησεν τὸν Γαλαάδ·
τῷ Γαλαὰδ δῆμος ὁ Γαλααδί· 34 καὶ ὗτοι υἱοὶ
Γαλαάδ· Ἀχιέζερ, δῆμος Ἀχιεζερί· τῷ Χελὲκ
δῆμος ὁ Χελεκί· 35 τῷ Ἐσριὴλ δῆμος ὁ ἰ Ἐσριηλί·
τῷ Συχὲμ δῆμος ὁ Συχεμί· 36 τῷ Συμαὲρ, δῆ-
μος ὁ Συμαερί· καὶ τῷ Ὀφὲρ, δημος ὁ Ὀφερί.
37 καὶ τῷ Σαλπαὰδ υἱῷ Ὀφὲρ, ὐκ ἐγένοντο αὐ-
τῷ υἱοὶ, ἀλλὴ θυγατέρες, καὶ ταῦτα τὰ ὀνό-
ματα τῶν θυγατέρων Σαλπαὰδ Μααλὰ, καὶ
Νουᾶ, καὶ Ἔγλα, καὶ Μέλχα, καὶ Θέρσα·
38 ὗτοι οἱ δῆμοι Μανασσῆ ἐξ ἐπισκέψεως αὐτῶν,
δύο καὶ πεντήκοντα χιλιάδες καὶ ἑπτακόσιοι·
39 Καὶ ὗτοι υἱοὶ Ἐφραὶμ τῷ Συθαλᾶ, δῆμος ὁ
Συθα-

Σουθαλαΐ· τῷ Χαβὰρ, δῆμος ὁ Χαβαραΐ· τῷ
Ταναχ᾿ δῆμος ὁ Ταναχί· [40] οὗτοι υἱοὶ Σουθαλᾶ·
τῷ Εδεν, δῆμος ὁ Εδενι· [41] οὗτοι δῆμοι Ἐφρὲμ᾿ ἐξ
ἐπισκέψεως αὐτῶν, δύο καὶ τριάκοντα χιλιάδες
καὶ πεντακόσιοι· οὗτοι δῆμοι υἱῶν Ἰωσὴφ, κατὰ
*169 δήμους αὐτῶν· [42] υἱοὶ Βενιαμεὶν * κατὰ δήμους αὐ-
τῶν· τὸ Βαλὲ, δῆμος ὁ Βαλεΐ· τῷ Ἀσυβὴρ, δῆμος
ὁ Ἀσυβηρί· τῷ Ἀχειρὰ, δῆμος ὁ Ἀχειρανί· [43] τῷ
Σωφὰν, δῆμος ὁ Σωφανί· καὶ ἐγένοντο
υἱοὶ Βαλὲ, Ἀδὰρ, καὶ Νοεμάν· δῆμος ὁ Ἀδερὶ,
καὶ δῆμος ὁ Νοεμανί· [44] οὗτοι υἱοὶ Βενιαμεὶν κατὰ
δήμους αὐτῶν, ἐξ ἐπισκέψεως αὐτῶν, πέντε καὶ
τριάκοντα χιλιάδες καὶ πεντακόσιοι·
[45] Καὶ υἱοὶ Δὰν, κατὰ δήμους αὐτῶν, τῷ Σαμεὶ,
δῆμος ὁ Σαμει· οὗτοι δῆμοι Δάν· κατὰ δήμους αὐ-
τῶν, [46] πάντες οἱ δῆμοι Σαμεὶ, κατ᾿ ἐπισκοπὴν αὐ-
τῶν, τέσσαρες καὶ ἑξήκοντα χιλιάδες καὶ ἑξακόσιοι·
[47] Υἱοὶ Νεφθαλεὶ κατὰ δήμους αὐτῶν, τῷ Ἀσιὴλ,
δῆμος ὁ Ἀσιηλί· τῷ Γοῦνὶ, δῆμος ὁ Γωϋνί· [48] τῷ
Ἐσρὶ. δῆμος ὁ Ἐσρί· τῷ Σελλὴμ᾿ δῆμος ὁ Σελλη-
μί· [49] οὗτοι δῆμοι Νεφθαλεὶ ἐξ ἐπισκέψεως αὐ-
τῶν, πέντε καὶ τεσσεράκοντα χιλιάδες καὶ τριακό-
σιοι· [50] αὕτη ἡ ἐπίσκεψις υἱῶν Ἰσραὴλ, πεντακό-
σιαι s) ἐνενήκοντα μία χιλιάδες καὶ πεντήκοντα·
[51] Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσὴν λέγων· [52] τούτοις
μεριωθήσεται ἡ γὴ κληρονομεῖν ἐξ ἀριθμοῦ ὀνο-
μάτων [53] τοῖς πλείοσιν, πλεονάσεις τὴν κληρονο-
μίαν· καὶ τοῖς ἐλάττοσιν, ἐλαττώσεις τὴν κλη-
ρονομίαν αὐτῶν ἑκάστῳ, καθὼς ἐπεσκέπησαν, δο-
θήσεται ἡ κληρονομία αὐτῶν· [54] διὰ κλήρων
μερι-

s) ἐν ἄλλαις
χιλιάδες χ̄ καὶ ͵αψλ.

μεριϑήσεται ἡ γῆ τοῖς ὀνόμασιν κατὰ φυλὰς
πατριῶν αὐτῶν κληρονομήσουσιν· [55] ἐκ τοῦ κλήρου
μεριεῖς τὴν κληρονομίαν αὐτῶν, ἀνὰ μέσον πολλῶν
καὶ ὀλίγων· [56] καὶ οἱ υἱοὶ Λευὶ κατὰ δήμους αὐ-
τῶν τῷ Γεδσὼν, δῆμος ὁ Γεδσωνί· τῷ Κααϑ',
δῆμος ὁ Κααϑί· τῷ Μεραρὶ, δῆμος ὁ Μεραρί·
[57] οὗτοι δῆμοι υἱῶν Λευί· δῆμος ὁ Λοβενὶ, καὶ δῆ-
μος ὁ Χεβρωνί· καὶ δῆμος ὁ Ὀμουσί· καὶ δῆμος ὁ Κό-
ρε· καὶ Κααϑ', ἐγέννησεν τὸν Αμραν, [58] τὸ δὲ
ὄνομα τῆς γυ*ναικὸς Αμραν, Ἰωχαβὲϑ ϑυγάτηρ *170
Λευὶ, ἣ ἔτεκεν τούτους τῷ Λευὶ ἐν Αἰγύπτῳ, καὶ
ἔτεκεν τῷ Αμραν, τὸν Ἀαρὼν καὶ Μωϋσῆν καὶ
Μαριὰμ τὴν ἀδελφὴν αὐτῶν· [59] καὶ ἐτέχϑησαν
τῷ Ἀαρὼν, ὅ τε Ναδὰβ καὶ Ἀβιοὺδ καὶ Ἐλεά-
ζαρ, καὶ Ἰϑάμαρ· [60] καὶ ἀπέϑανεν Ναδὰβ καὶ
Ἀβιοὺδ ἐν τῷ προσφέρειν αὐτοὺς πῦρ ἀλλότριον
ἔναντι κυρίου, ἐν τῇ ἐρήμῳ Σινά· [61] καὶ ἐγεννήϑησαν
ἐξ ἐπισκέψεως αὐτῶν, τρεῖς καὶ εἴκοσι χιλιάδες,
πᾶν ἀρσενικὸν ἀπὸ μηνιαίου καὶ ἐπάνω· οὐ γὰρ
συνεπεσκέπησαν ἐν τοῖς υἱοῖς Ἰσραὴλ, ὅτι οὐ δί-
δοται αὐτοῖς κλῆρος ἐν μέσῳ υἱῶν Ἰσραὴλ, [62] καὶ
αὕτη ἡ ἐπίσκεψις Μωϋσῆ καὶ Ἐλεάζαρ τοῦ ἱε-
ρέως, οἳ ἐπεσκέψαντο τοὺς υἱοὺς Ἰσραὴλ ἐν Ῥαμὼϑ
Μωὰβ ἐπὶ τοῦ Ἰορδάνου κατὰ Ἱεριχώ· [63] καὶ ἐν
τούτοις οὐκ ἦν ἄνϑρωπος τῶν ἐπεσκεμμένων ὑπὸ
Μωϋσῆ καὶ Ἀαρὼν, οὓς ἐπεσκέψαντο
τοὺς υἱοὺς Ἰσραὴλ ἐν τῇ ἐρήμῳ Σινά·
64 Ὅτι εἶπεν κύριος αὐτοῖς, ϑανάτῳ ἀποϑανοῦνται
ἐν τῇ ἐρήμῳ, καὶ οὐ κατελείφϑη ἐξ αὐτῶν οὐδεὶς,
πλὴν Χαλὲβ, υἱὸς Ἰεφοννὴ, καὶ Ἰησοῦς ὁ τοῦ Ναυή·
XXVII. [1] καὶ προσελϑοῦσαι αἱ ϑυγατέρες Σαλπαὰδ
υἱοῦ Ὀφὲρ, υἱοῦ Γαλαὰδ υἱοῦ Μαχεὶρ, τοῦ δήμου

Μανασ-

Μανασσῆ, τῶν υἱῶν Ἰωσὴφ, καὶ ταῦτα τὰ ὀνό-
ματα αὐτῶν, Μααλὰ, καὶ Νουὰ, καὶ Ἔγλα,
καὶ Μέλχα, καὶ Θέρσα· 2 καὶ στάσαι ἔναντι
Μωϋσῆ, καὶ ἔναντι Ἐλεάζαρ, τοῦ ἱερέως, καὶ
ἔναντι τῶν ἀρχόντων, καὶ ἔναντι πάσης συναγω-
γῆς ἐπὶ τῆς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου,
λέγουσιν· 3 ὁ πατὴρ ἡμῶν ἀπέθανεν ἐν
τῇ ἐρήμῳ, καὶ αὐτὸς οὐκ ἦν ἐν μέσῳ τῆς
συναγωγῆς τῆς ἐπισυστάσης ἔναντι κυρίου ἐν τῇ
συναγωγῇ Κόρε, ὅτι δι᾽ ἁμαρτίαν t) αὐτοῦ ἀπέ-
θανεν· καὶ υἱοὶ οὐκ ἐγένοντο αὐτῷ, μὴ ἐξαλει-
φθήτω τὸ ὄνομα τοῦ πατρὸς ἡμῶν, ἐκ μέσου τοῦ
*171 δήμου αὐτοῦ, ὅτι οὐκ ἔστιν αὐτῷ υἱός· δότε * ἡμῖν
κατάσχεσιν ἐν μέσῳ ἀδελφῶν πατρὸς ἡμῶν· 4 καὶ
προσήγαγεν Μωϋσῆς τὴν κρίσιν αὐτῶν ἔναντι κυρίου
5 Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν λέγων· 6 ὀρθῶς
θυγατέρες Σαλπαὰδ λελαλήκασιν· δόμα δώσεις
αὐταῖς κατάσχεσιν κληρονομίας, ἐν μέσῳ ἀδελ-
φῶν πατρὸς αὐτῶν· καὶ περιθήσεις τὸν κλῆρον
τοῦ πατρὸς αὐτῶν αὐταῖς, 7 καὶ τοῖς υἱοῖς Ἰσραὴλ
λαλήσεις λέγων· 8 ἄνθρωπος ἐὰν ἀποθάνῃ, καὶ
υἱὸς μὴ ᾖ αὐτῷ, περιθήσεται τὴν κληρονομίαν
αὐτοῦ, τῇ θυγατρὶ αὐτοῦ· 9 ἐὰν δὲ μὴ ᾖ θυ-
γάτηρ αὐτῷ, δώσετε τὴν κληρονομίαν τῷ ἀδελφῷ
αὐτοῦ· 10 ἐὰν δὲ μὴ ὦσιν αὐτῷ ἀδελφοὶ, δώσετε

τὴν

t) τινὲς νομίζοντες ἐναντίωσιν ἐνεῖναι τῷ σκοπῷ τοῦ ῥητοῦ, προστιθέασι τὴν ἄρνησιν, ὅτι οὐ δι᾽ ἁμαρτίαν αὐτοῦ ἀπέθανεν, νοθεύοντες τὴν ἀληθῆ γραφήν· ὃ γὰρ λέγουσιν αἱ θυγατέρες τοῦ σαλπαὰδ τοῦτό ἐστιν, ὅτι μετὰ τῆς κόρε μεν θεομάχου συναγωγης, οὐκ ἀπέθανε τὸν ἐκ τῆς θείας οργῆς θάνατον ὁ πατὴρ ἡμῶν, ἀλλὰ δι᾽ ἁμαρτίαν ἰδίαν υἱοὺς μὴ σχῶν ἀπέθανεν· οὕτως γὰρ διεσπούδαστο τοῖς τότε ἀνθρώποις, ἡ τῶν ἀρρένων παιδοποιεια ὡς τὴν ἀπαιδίαν ἁμαρτία προσλογίζεσθαι.

τὴν κληρονομίαν τῷ ἀδελφῷ τοῦ πατρὸς αὐτοῦ·
[11] ἐὰν δὲ μὴ ὦσιν ἀδελφοὶ τοῦ πατρὸς αὐτοῦ, δώ-
σετε τὴν κληρονομίαν τῷ οἰκείῳ τῷ ἔγγιστα αὐ-
τοῦ, ἐκ τῆς φυλῆς αὐτοῦ κληρονομήσει τὰ
αὐτοῦ· καὶ ἔσται τοῦτο τοῖς υἱοῖς Ἰσραὴλ δι-
καίωμα κρίσεως, καθὰ συνέταξεν κύριος τῷ
Μωϋσῇ· [12] καὶ εἶπεν κύριος πρὸς Μωϋσήν·
Ἀνάβηθι εἰς τὸ ὄρος τῶ ἐν τῷ πέραν, τοῦτο ὄρος
Ναβαῦ, καὶ ἴδε τὴν γῆν Χανααν, ἣν ἐγὼ δί-
δωμι τοῖς υἱοῖς Ἰσραὴλ ἐν κατασχέσει· [13] καὶ
ὄψῃ αὐτήν, καὶ προστεθήσῃ πρὸς τὸν λαόν σου
καὶ σύ, καθὰ προσετέθη Ἀαρὼν ὁ ἀδελφός σου
ἐν Ὢρ τῷ ὄρει· [14] διότι παρέβητε τὸ ῥῆμά μου,
ἐν τῇ ἐρήμῳ Σὶν, ἐν τῷ ἀντιπίπτειν τὴν συν-
αγωγὴν τοῦ ἁγιάσαι με, οὐχ ἡγιάσατέ με ἐπὶ τῷ
ὕδατι ἔναντι αὐτῶν· τοῦτό ἐστιν τὸ ὕδωρ ἀντιλο-
γίας Κάδης ἐν τῇ ἐρήμῳ Σίν, [15] καὶ εἶπεν Μωϋ-
σῆς πρὸς κύριον· [16] ἐπισκεψάσθω κύριος ὁ θεὸς
τῶν πνευμάτων, καὶ πάσης σαρκὸς ἄνθρωπον,
ἐπὶ τῆς συναγωγῆς ταύτης, [17] ὅστις ἐξελεύσεται
πρὸ προσώπου αὐτῶν, καὶ ὅστις εἰσελεύσεται
πρὸ προσώπου αὐτῶν, καὶ ὅστις ἐξάξει αὐτούς,
καὶ ὅστις εἰσάξει αὐτούς, καὶ οὐκ ἔσται ἡ συναγω-
γὴ κυρίου, ὡς πρόβατα οἷς οὐκ ἔστιν ποιμήν·
[18] Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν λέγων· λάβε ΜΔ
πρὸς σε*αυτὸν Ἰησοῦν υἱὸν Ναυὴ, ἄνθρωπον ὃς *172
ἔχει πνεῦμα θεοῦ ἐν ἑαυτῷ· καὶ ἐπιθήσεις τὰς
χεῖράς σου ἐπ' αὐτόν, [19] καὶ στήσεις αὐτὸν ἔναντι
Ἐλεάζαρ τοῦ ἱερέως, καὶ ἐντελῇ αὐτῷ ἔναντι πά-
σης συναγωγῆς· καὶ ἔντειλε περὶ αὐτοῦ ἐναντίον
αὐτῶν,

ΜΔ ΧΕΙΡΟΤΟΝΙΑ ΙΗΣΟΥ ΥΠΟ ΜΩΥΣΕΩΣ ΑΝΤ' ΑΥΤΟΥ.

αὐτῶν, 20 καὶ δώσεις τῆς δόξης σου ἐπ' αὐτὸν,
ὅπως ἂν εἰσακούσωσιν αὐτοῦ, οἱ υἱοὶ Ἰσραήλ·
21 καὶ ἔναντι Ἐλεάζαρ τοῦ ἱερέως στήσεται, καὶ
ἐπερωτήσωσιν αὐτὸν τὴν κρίσιν τῶν δήλων, ἔναν-
τι κυρίου· ἐπὶ τῷ στόματι αὐτοῦ ἐξελεύσονται, καὶ
ἐπὶ τῷ στόματι αὐτοῦ εἰσελεύσονται, αὐτὸς καὶ
οἱ υἱοὶ Ἰσραὴλ ὁμοθυμαδὸν καὶ πᾶσα ἡ συνα-
γωγή· 22 καὶ ἐποίησεν Μωϋσῆς καθὰ ἐνε-
τείλατο αὐτῷ κύριος· καὶ λαβὼν τὸν Ἰησοῦν,
ἔστησεν αὐτὸν ἐναντίον Ἐλεάζαρ τοῦ ἱερέως, καὶ
ἐναντίον πάσης συναγωγῆς, 23 καὶ ἐπέθηκεν τὰς
χεῖρας αὐτοῦ ἐπ' αὐτὸν, καὶ συνέστησεν αὐτὸν,
καθάπερ συνέταξεν κύριος τῷ Μωϋσῇ·

ΜΕ XXVIII. 1 Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν λέγων·
2 ἔντειλαι τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐ-
τοὺς λέγων· τὰ δῶρά μου, δόματά μου, καρπώ-
ματά μου εἰς ὀσμὴν εὐωδίας, διατηρήσατε προσ-
φέρειν ἐμοὶ ἐν τοῖς καιροῖς μου ταῖς ἑορταῖς μου,
3 καὶ ἐρεῖς πρὸς αὐτούς· ταῦτα τὰ καρπώματα,
ἃ προσάξετε κυρίῳ, ἀμνοὺς ἐνιαυσίους ἀμώμους
δύο τὴν ἡμέραν εἰς ὁλοκαύτωσιν ἐνδελεχῶς· 4 τὸν
ἀμνὸν τὸν ἕνα ποιήσετε τὸ πρωΐ· καὶ τὸν ἀμνὸν
τὸν δεύτερον, ποιήσετε πρὸς ἑσπέραν· 5 καὶ ποιή-
σεις τὸ δέκατον τοῦ οἰφὶ, σεμίδαλιν εἰς θυσίαν
ἀναπεποιημένην ἐν ἐλαίῳ, ἐν τετάρτῳ τοῦ ἶν,
6 ὁλοκαύτωμα ἐνδελεχισμοῦ, ἡ γενομένη ἐν τῷ
ὄρει Σινὰ, εἰς ὀσμὴν εὐωδίας κυρίῳ· 7 καὶ σπον-
δὴν αὐτοῦ τὸ τέταρτον τοῦ ἶν, τῷ ἀμνῷ τῷ ἑνὶ
ἐν τῷ ἁγίῳ σπείσεις, σπονδὴν σίκερα κυρίῳ·
8 καὶ τὸν ἀμνὸν τὸν δεύτερον, ποιήσεις τὸ πρὸς
ἑσπέραν κατὰ τὴν θυσίαν αὐτοῦ, καὶ κατὰ

τὴν

ΜΕ ΠΕΡΙ ΤΩΝ ΘΥΣΙΩΝ ΔΙΑΤΑΓΗ.

τὴν σπονδὴν αὐτοῦ, ποιή*σετε εἰς ὀσ- *173
μὴν εὐωδίας κυρίῳ· 9 καὶ τῇ ἡμέρᾳ
Τῶν σαββάτων προσάξετε δύο ἀμνοὺς ἐνιαυσίους ἀμώ-
μους, καὶ δύο δέκατα σεμιδάλεως εἰς θυσίαν, ἀναπε-
ποιημένης ἐν ἐλαίῳ· καὶ σπονδὴν 10 ὁλοκαυτώματος
σαββάτου, ἐν τοῖς σαββάτοις ἐπὶ τῆς ὁλοκαυ-
τώσεως τῆς διὰ παντὸς, καὶ τὴν σπονδὴν αὐτοῦ·
11 καὶ ἐν ταῖς νουμηνίαις προσάξετε ὁλοκαυτώμα-
τα κυρίῳ· μόσχους ἐκ βοῶν δύο, κριὸν ἕνα, ἀμνοὺς
ἐνιαυσίους ἑπτὰ ἀμώμους· 12 τρία δέκατα σεμιδά-
λεως ἀναπεποιημένης ἐν ἐλαίῳ· τῷ μόσχῳ τῷ
ἑνὶ καὶ δύο δέκατα σεμιδάλεως εἰς θυσίαν ἀνα-
πεποιημένης ἐν ἐλαίῳ· τῷ κριῷ τῷ ἑνὶ, 13 δέκα-
τον δέκατον σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ·
τῷ ἀμνῷ τῷ ἑνὶ θυσίαν ὀσμὴν εὐωδίας κάρπω-
μα κυρίῳ, 14 ἡ σπονδὴ αὐτῶν, τὸ ἥμισυ τοῦ ἵν
ἔσται, τῷ μόσχῳ τῷ ἑνί· καὶ τὸ τρίτον τοῦ ἵν,
ἔσται τῷ κριῷ τῷ ἑνί· καὶ τὸ τέταρτον τοῦ ἵν,
ἔσται τῷ ἀμνῷ τῷ ἑνὶ, οἴνου· τοῦτο τὸ ὁλοκαύτω-
μα, μῆνα ἐκ μηνὸς, εἰς τοὺς μῆνας τοῦ ἐνιαυτοῦ·
15 καὶ χίμαῤῥον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας κυ-
ρίῳ ἐπὶ τῆς ὁλοκαυτώσεως τῆς διὰ παντὸς ποιη-
θήσεται, καὶ ἡ σπονδὴ αὐτοῦ· 16 καὶ ΜΕ
ἐν τῷ μηνὶ τῷ πρώτῳ, τεσσαρεσ-
Καιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς, πάσχα κυρίῳ· 17 καὶ τῇ
πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τούτου, ἑορτή· ἑπτὰ
ἡμέρας ἄζυμα ἔδεσθαι· 18 καὶ ἡ ἡμέρα ἡ πρώτη,
ἐπίκλητος ἁγία ἔσται ὑμῖν· πᾶν ἔργον λατρευτὸν
οὐ ποιήσετε, 19 καὶ προσάξετε ὁλοκαυτώματα κάρ-
πωμα κυρίῳ· μόσχους ἐκ βοῶν δύο, κριὸν ἕνα,
ἀμνοὺς ἐνιαυσίους ἑπτὰ, ἄμωμοι ἔσονται ὑμῖν·
20 καὶ ἡ θυσία αὐτῶν, σεμίδαλις ἀναπεποιημένη

ἐν ἐλαίῳ· τρία δέκατα τῷ μόσχῳ τῷ ἑνὶ, καὶ
δύο δέκατα τῷ κριῷ τῷ ἑνὶ ποιήσετε· 21 δέκατον
δέκατον, ποιήσεις τῷ ἀμνῷ τῷ ἑνὶ, τοῖς ἑπτὰ
*174 ἀμνοῖς· * 22 καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ
ἁμαρτίας, ἐξιλάσασθαι περὶ ὑμῶν· 23 πλὴν τῆς
ὁλοκαυτώσεως τῆς διὰ παντὸς τῆς πρωϊνῆς, ὅ ἐστιν
ὁλοκαύτωμα ἐνδελεχισμοῦ 24 ταῦτα· κατὰ ταῦτα
ποιήσετε τὴν ἡμέραν εἰς τὰς ἑπτὰ ἡμέρας, δῶ-
ρον κάρπωμα εἰς ὀσμὴν εὐωδίας κυρίῳ, ἐπὶ τοῦ
ὁλοκαυτώματος τοῦ διὰ παντὸς ποιήσεις τὴν σπον-
δὴν αὐτοῦ· 25 καὶ ἡ ἡμέρα ἡ ἑβδόμη, κλητὴ
ἁγία ἔσται ὑμῖν· πᾶν ἔργον λατρευτὸν οὐ ποιή-
σετε ἐν αὐτῇ· 26 καὶ τῇ ἡμέρᾳ τῶν νέων, ὅτ'
Ἂν προσφέρητε θυσίαν νέαν κυρίῳ, τῶν ἑβδομά-
δων u), ἐπίκλητος ἁγία ἔσται ὑμῖν· πᾶν ἔργον
λατρευτὸν οὐ ποιήσετε, 27 καὶ προσάξετε ὁλοκαύ-
τωμα εἰς ὀσμὴν εὐωδίας κυρίῳ· μόσχους ἐκ βοῶν
δύο· κριὸν ἕνα· ἀμνοὺς ἐνιαυσίους ἑπτὰ, ἀμώμους·
28 ἡ θυσία αὐτῶν σεμίδαλις ἀναπεποιημένη ἐν
ἐλαίῳ· τρία δέκατα τῷ μόσχῳ τῷ ἑνὶ, καὶ δύο
δέκατα τῷ κριῷ τῷ ἑνί· 29 δέκατον δέκατον τῷ
ἀμνῷ τῷ ἑνὶ, τοῖς ἑπτὰ ἀμνοῖς· καὶ χίμα-
ρον ἐξ αἰγῶν ἕνα 30 περὶ ἁμαρτίας ἐξιλάσασθαι
περὶ ὑμῶν, πλὴν τοῦ ὁλοκαυτώματος τῆς νου-
μηνίας, καὶ ἡ θυσία αὐτῶν, καὶ τὸ ὁλοκαύτω-
μα τὸ διὰ παντὸς, καὶ τὴν θυσίαν αὐτῶν ποιήσε-
τέ μοι, 31 ἄμωμοι ἔσονται ὑμῖν καὶ αἱ σπονδαὶ αὐ-
τῶν· XXVIIII. 1 καὶ τῷ μηνὶ τῷ ἑβδόμῳ, μιᾷ τοῦ
Μηνὸς, ἐπίκλητος ἁγία ἔσται ὑμῖν· πᾶν ἔργον λα-
τρευτὸν

u) τῶν ἑπτὰ, αἵτινες ψιφήζονται ἀπὸ τῆς ἡμέρας, καθὴν ἂν προσενεχθῇ τὸ δράγμα, ὡς ἐν τῷ μγ καὶ μδ τοῦ λευϊτικοῦ, μᾶλλον δὲ ἀπὸ τῆς αὔριον μετὰ τὸ προσενεχθῆναι.

τρευτὸν οὐ ποιήσετε, ἡμέρα σημασίας ἔσαι ὑμῖν,
2 καὶ ποιήσετε ὁλοκαυτώματα εἰς ὀσμὴν εὐωδίας
κυρίῳ, μόσχον ἕνα ἐκ βοῶν· κριὸν ἕνα· ἀμνοὺς
ἐνιαυσίους, ἑπτὰ ἀμώμους· 3 ἡ θυσία αὐτῶν σε-
μίδαλις ἀναπεποιημένη ἐν ἐλαίῳ, τρία δέκατα
τῷ μόσχῳ τῷ ἑνὶ, καὶ δύο δέκατα τῷ κριῷ
τῷ ἑνί· 4 δέκατον δέκατον τῷ ἀμνῷ τῷ ἑνὶ, τοῖς
ἑπτὰ ἀμνοῖς, 5 καὶ χίμαρον ἐξ αἰγῶν ἕνα πε-
ρὶ ἁμαρτίας ἐξιλάσαθαι περὶ ὑμῶν, 6 πλὴν
τῶν ὁλοκαυτωμάτων x) τῆς νουμηνίας, καὶ αἱ θυ-
σίαι αὐτῶν καὶ αἱ σπον*δαὶ αὐτῶν, κατὰ τὴν *175
σύγκρισιν αὐτῶν εἰς ὀσμὴν εὐωδίας κυρίῳ·
7 καὶ τῇ δεκάτῃ τοῦ μηνὸς τούτου, ἐπίκλητος
Ἁγία ἔσαι ὑμῖν· καὶ κακώσετε τὰς ψυχὰς ὑμῶν,
καὶ πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε· 8 καὶ προσ-
οίσετε ὁλοκαύτωμα εἰς ὀσμὴν εὐωδίας καρπώ-
ματα, μόσχον ἐκ βοῶν ἕνα, κριὸν ἕνα, ἀμνοὺς
ἐνιαυσίους ἀμώμους ἑπτὰ, ἄμωμοι ἔσονται ὑμῖν·
9 ἡ θυσία αὐτῶν σεμίδαλις ἀναπεποιημένη ἐν
ἐλαίῳ· τρία δέκατα τῷ μόσχῳ τῷ ἑνὶ, καὶ δύο
δέκατα τῷ κριῷ τῷ ἑνί· 10 δέκατον δέκατον
ἀμνῷ τῷ ἑνὶ εἰς τοὺς ἑπτὰ ἀμνούς· 11 καὶ χίμα-
ρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας ἐξιλάσαθαι
περὶ ὑμῶν· πλὴν τὸ περὶ τῆς ἁμαρτίας y) τῆς
ἐξιλά-



x) καλῶς τοῦτο ἐν ταύτῃ τῇ ἑορτῇ μόνον ἐπεσημήνατο· ἐπειδὴ κατ' αὐτὴν τὴν νεομηνίαν, ἡ ἑορτὴ τῶν σαλπίγγων τελεῖται· ἐπὶ δὲ τῶν ἄλλων περιττὸν ἦν τοῦτο, προστιθέναι μὴ ἐν νεομηνίᾳ γινομένων· περὶ γοῦν τῆς τοῦ ἐνδελεχισμοῦ ὁλοκαυτώσεως καθ' ἑκάσην ἑορτὴν εἰκότως ἐπισημαίνεται, οσημεραι γινομένης.

y) περὶ ἧς ἐκτίθεται ἐν τῷ κζ τοῦ λευϊτικοῦ, ὅπου καὶ τοῖς δύο τράγοις ἐπιτιθέναι κλήρους κελεύει, κλῆρον ἕνα τῷ κυρίῳ, καὶ κλῆρον ἕνα τῷ ἀποπαμπαίῳ.

ἐξιλάσεως, καὶ ἡ ὁλοκαύτωσις ἡ διαπαντὸς ἡ
θυσία αὐτῆς καὶ ἡ σπονδὴ αὐτῆς κατὰ τὴν
σύγκρισιν αὐτῆς εἰς ὀσμὴν εὐωδίας κάρπωμα
κυρίῳ· [12] καὶ τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς
τοῦ ἑβδόμου τούτου, ἐπίκλητος ἁγία ἔσται ὑμῖν·
πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε, καὶ ἑορτάσετε
αὐτὴν ἑορτὴν κυρίῳ ἑπτὰ ἡμέρας· [13] καὶ προσ-
άξετε ὁλοκαυτώματα εἰς ὀσμὴν εὐωδίας κυρίῳ·
Τῇ ἡμέρᾳ τῇ πρώτῃ, μόσχους ἐκ βοῶν, τρεῖς καὶ
δέκα, κριοὺς δύο· ἀμνοὺς ἐνιαυσίους δεκατέσσα-
ρας, ἄμωμοι ἔσονται· [14] αἱ θυσίαι αὐτῶν, σε-
μίδαλις ἀναπεποιημένη ἐν ἐλαίῳ· τρία δέκατα
τῷ μόσχῳ τῷ ἑνὶ, τοῖς τρεῖς καὶ δέκα μόσχοις,
καὶ δύο δέκατα τῷ κριῷ τῷ ἑνὶ ἐπὶ τοὺς δύο
κριούς· [15] δέκατον δέκατον τῷ ἀμνῷ τῷ ἑνὶ,
ἐπὶ τοὺς δεκατέσσαρας ἀμνούς· [16] καὶ χί-
μαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας· πλὴν
τῆς ὁλοκαυτώσεως τῆς διαπαντός· αἱ θυ-
σίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν·
[17] Καὶ τῇ ἡμέρᾳ τῇ δευτέρᾳ μόσχους δεκαδύο, κριοὺς
δύο, ἀμνοὺς ἐνιαυσίους δεκατέσσαρας ἀμώμους·
[18] ἡ θυσία αὐτῶν καὶ ἡ σπονδὴ αὐτῶν, τοῖς
μόσχοις, καὶ τοῖς κριοῖς, καὶ τοῖς ἀμνοῖς κατὰ
ἀριθμὸν αὐτῶν κατὰ τὴν σύγκρισιν αὐτῶν·
*176 [19] καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας, *
πλὴν τῆς ὁλοκαυτώσεως τῆς διαπαντὸς, αἱ θυ-
σίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν· [20] τῇ ἡμέρᾳ
Τῇ τρίτῃ, μόσχους ἕνδεκα, κριοὺς δύο· ἀμνοὺς ἐνιαυ-
σίους δεκατέσσαρας ἀμώμους· [21] ἡ θυσία αὐτῶν
καὶ ἡ σπονδὴ αὐτῶν, τοῖς μόσχοις καὶ τοῖς
κριοῖς καὶ τοῖς ἀμνοῖς κατὰ ἀριθμὸν αὐτῶν,
κατὰ τὴν σύγκρισιν αὐτῶν· [22] καὶ χίμαῤῥον ἐξ

αἰγῶν

αἰγῶν ἕνα περὶ ἁμαρτίας, πλὴν τῆς ὁλοκαυτώ-
σεως τῆς διαπαντός· αἱ θυσίαι αὐτῶν καὶ αἱ
σπονδαὶ αὐτῶν· 23 τῇ ἡμέρᾳ τῇ τετάρτῃ
Μόσχους δέκα, κριοὺς δύο, ἀμνοὺς ἐνιαυσίους δεκα-
τέσσαρας ἀμώμους· 24 αἱ θυσίαι αὐτῶν καὶ αἱ
σπονδαὶ αὐτῶν, τοῖς μόσχοις καὶ τοῖς κριοῖς
καὶ τοῖς ἀμνοῖς, κατὰ ἀριθμὸν αὐτῶν κατὰ
τὴν σύγκρισιν αὐτῶν· 25 καὶ χίμαρρον ἐξ αἰγῶν
ἕνα περὶ ἁμαρτίας, πλὴν τῆς ὁλοκαυτώσεως τῆς
διαπαντὸς, αἱ θυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν·
26 Τῇ ἡμέρᾳ τῇ πέμπτῃ, μόσχους ἐννέα, κριοὺς δύο,
ἀμνοὺς ἐνιαυσίους δεκατέσσαρας ἀμώμους, 27 αἱ
θυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν, τοῖς μό-
σχοις καὶ τοῖς κριοῖς καὶ τοῖς ἀμνοῖς, κατὰ
ἀριθμὸν αὐτῶν κατὰ τὴν σύγκρισιν αὐτῶν·
28 καὶ χίμαρρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας,
πλὴν τῆς ὁλοκαυτώσεως τῆς διαπαντός· αἱ θυ-
σίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν·
29 Τῇ ἡμέρᾳ τῇ ἕκτῃ, μόσχους ὀκτώ· κριοὺς δύο·
ἀμνοὺς ἐνιαυσίους δεκατέσσαρας ἀμώμους· 30 αἱ
θυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν· τοῖς μό-
σχοις καὶ τοῖς κριοῖς καὶ τοῖς ἀμνοῖς, κατὰ
ἀριθμὸν αὐτῶν, κατὰ τὴν σύγκρισιν αὐτῶν·
31 καὶ χίμαρρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας
πλὴν τῆς ὁλοκαυτώσεως τῆς διαπαντὸς, αἱ
θυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν·
32 Τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, μόσχους ἑπτά· κριοὺς δύο,
ἀμνοὺς ἐνιαυσίους δεκατέσσαρας ἀμώμους, 33 αἱ
θυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν, τοῖς μό-
σχοις καὶ τοῖς * κριοῖς καὶ τοῖς ἀμνοῖς, κατὰ *177
ἀριθμὸν αὐτῶν κατὰ τὴν σύγκρισιν αὐτῶν,
34 καὶ χίμαρρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας,

πλὴν τῆς ὁλοκαυτώσεως τῆς διαπαντὸς, αἱ
θυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν·
35 Καὶ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ, ἐξόδιον ἔςαι ὑμῖν· πᾶν
ἔργον λατρευτὸν οὐ ποιήσετε ἐν αὐτῇ· 36 καὶ προσ-
άξετε ὁλοκαυτώματα εἰς ὀσμὴν εὐωδίας τῷ κυ-
ρίῳ· μόσχον ἕνα, κριὸν ἕνα, ἀμνοὺς ἐνιαυσίους
ἑπτὰ ἀμώμους, 37 αἱ θυσίαι αὐτῶν καὶ αἱ σπον-
δαὶ αὐτῶν, τῷ μόσχῳ, καὶ τῷ κριῷ, καὶ τοῖς
ἀμνοῖς, κατὰ ἀριθμὸν αὐτῶν κατὰ τὴν σύγκρι-
σιν αὐτῶν· 38 καὶ χίμαῤῥον ἐξ αἰγῶν ἕνα
περὶ ἁμαρτίας, πλὴν τῆς ὁλοκαυτώσεως
τῆς διαπαντός· αἱ θυσίαι αὐτῶν καὶ
αἱ σπονδαὶ αὐτῶν· 39 ταῦτα ποιήσετε
τῷ κυρίῳ ἐν ταῖς ἑορταῖς ὑμῶν, πλὴν τῶν εὐχῶν
ὑμῶν καὶ τὰ ἑκούσια ὑμῶν, καὶ τὰ ὁλοκαυ-
τώματα ὑμῶν, καὶ τὰς θυσίας ὑμῶν, καὶ τὰς
σπονδὰς ὑμῶν, καὶ τὰ σωτήρια ὑμῶν· XXX. 1 καὶ
ἐλάλησεν Μωϋσῆς τοῖς υἱοῖς Ἰσραὴλ κατὰ
πάντα ὅσα ἐνετείλατο κύριος τῷ Μωϋσῇ·
MS 2 Καὶ ἐλάλησεν Μωϋσῆς, πρὸς τοὺς ἄρχοντας τῶν
φυλῶν υἱῶν Ἰσραὴλ λέγων· τοῦτο τὸ ῥῆμα, ὃ
συνέταξεν κύριος· 3 ἄνθρωπος ἄνθρωπος, ὃς ἂν
εὔξηται εὐχὴν κυρίῳ, ἢ ὀμόσῃ ὅρκον, ἢ ὁρίση-
ται ὁρισμῷ περὶ τῆς ψυχῆς αὐτοῦ, οὐ βεβηλώ-
σει τὸ ῥῆμα αὐτοῦ· πάντα ὅσα ἂν ἐξέλθῃ ἐκ
τοῦ ςόματος αὐτοῦ ποιήσει· 4 ἐὰν δὲ γυνὴ εὔξη-
ται εὐχὴν κυρίῳ ἢ ὁρίσηται ὁρισμὸν ἐν τῷ οἴ-
κῳ τοῦ πατρὸς αὐτῆς ἐν τῇ νεότητι αὐτῆς, καὶ
ἀκούσῃ ὁ πατὴρ αὐτῆς τὰς εὐχὰς αὐτῆς, καὶ
τοὺς ὁρισμοὺς αὐτῆς, οὓς ὡρίσατο κατὰ τῆς ψυ-
χῆς αὐτῆς, καὶ παρασιωπήσῃ αὐτῆς ὁ πατὴρ,
καὶ

MS ΠΕΡΙ ΥΠΟΣΧΕΣΕΩΝ ΨΙΛΩΝ Η ΕΝΟΡΚΩΝ.

καὶ στήσονται πᾶσαι αἱ εὐχαὶ αὐτῆς, [5] καὶ πάν-
τες οἱ ὁρισμοὶ οὓς ὡρίσατο κατὰ τῆς ψυχῆς
αὐτῆς μενοῦσιν αὐτῇ· [6] ἐὰν δὲ ἀνανεύων ἀνανεύ-
σῃ ὁ πατὴρ αὐτῆς, ᾗ ἂν ἡμέρα ἀκούσῃ πάσας
τὰς εὐχὰς αὐτῆς, καὶ τοὺς ὁρισμοὺς οὓς * ὡρίσα- *178
το κατὰ τῆς ψυχῆς αὐτῆς, οὐ στήσονται· καὶ
κύριος καθαριεῖ αὐτὴν, ὅτι ἀνένευσεν ὁ πατὴρ
αὐτῆς· [7] ἐὰν δὲ γενομένη γένηται ἀνδρὶ, καὶ αἱ
εὐχαὶ αὐτῆς ἐπ' αὐτῇ κατὰ τὴν διαστολὴν τῶν
χειλέων αὐτῆς, ὅσα ὡρίσατο κατὰ τῆς ψυχῆς
αὐτῆς, [8] καὶ ἀκούσῃ ὁ ἀνὴρ αὐτῆς καὶ παρα-
σιωπήσῃ αὐτῇ ᾗ ἂν ἡμέρα ἀκούσῃ, καὶ οὕτως
στήσονται πᾶσαι αἱ εὐχαὶ αὐτῆς, καὶ οἱ ὁρισμοὶ
αὐτῆς, οὓς ὡρίσατο κατὰ τῆς ψυχῆς αὐτῆς στή-
σονται· [9] ἐὰν δὲ ἀνανεύων ἀνανεύσῃ ὁ ἀνὴρ αὐ-
τῆς, ᾗ ἂν ἡμέρα ἀκούσῃ, πᾶσαι αἱ εὐχαὶ αὐτῆς,
καὶ οἱ ὁρισμοὶ αὐτῆς οὓς ὡρίσατο κατὰ τῆς ψυ-
χῆς αὐτῆς οὐ μενοῦσιν, ὅτι ὁ ἀνὴρ ἀνένευσεν
ἐπ' αὐτῆς, καὶ κύριος καθαριεῖ αὐτήν· [10] καὶ
εὐχὴ χήρας καὶ ἐκβεβλημένης, ὅσα ἂν εὔξηται
κατὰ τῆς ψυχῆς αὐτῆς, μενοῦσιν αὐτῇ· [11] ἐὰν δὲ
ἐν τῷ οἴκῳ τοῦ ἀνδρὸς αὐτῆς, ἡ εὐχὴ αὐτῆς, ἢ
ὁρισμὸς ὁ κατὰ τῆς ψυχῆς αὐτῆς μεθ' ὅρκου, [12] καὶ
ἀκούσῃ ὁ ἀνὴρ αὐτῆς καὶ παρασιωπήσῃ αὐτῇ,
καὶ μὴ ἀνανεύσῃ αὐτῇ, καὶ στήσονται πᾶσαι αἱ
εὐχαὶ αὐτῆς, καὶ πάντες οἱ ὁρισμοὶ οὓς ὡρίσα-
το, κατὰ τῆς ψυχῆς αὐτῆς, στήσονται κατ' αὐ-
τῆς· [13] ἐὰν δὲ περιαιρῶν περιέλῃ ὁ ἀνὴρ αὐτῆς, ᾗ
ἂν ἡμέρα ἀκούσῃ πάντα ὅσα ἂν ἐξέλθῃ ἐκ τῶν
χειλέων αὐτῆς κατὰ τὰς εὐχὰς αὐτῆς, καὶ κα-
τὰ τοὺς ὁρισμοὺς τοὺς κατὰ τῆς ψυχῆς αὐτῆς, οὐ
μενεῖ αὐτῇ, ὁ ἀνὴρ αὐτῆς περιεῖλεν· καὶ κύριος

 καθα-

καθαριεῖ αὐτήν· [14] πᾶσα εὐχὴ καὶ πᾶς ὅρκος
δεσμȣ̃ κακῶσαι ψυχὴν, ὁ ἀνὴρ αὐτῆς ϛήσει αὐ-
τῇ, καὶ ὁ ἀνὴρ αὐτῆς περιελεῖ· [15] ἐὰν δὲ σιωπῶν
παρασιωπήσῃ αὐτῇ ἡμέραν ἐξ ἡμέρας, καὶ ϛή-
σει αὐτὴ πάσας τὰς εὐχὰς αὐτῆς, καὶ τȣ̀ς
ὁρισμȣ̀ς τȣ̀ς ἐπ᾽ αὐτῇ, ϛήσει αὐτῇ, ὅτι ἐσιώπη-
σεν αὐτῇ, τῇ ἡμέρᾳ ᾗ ἤκȣσεν· [16] ἐὰν δὲ
περιαιρῶν περιέλῃ ὁ ἀνὴρ αὐτῆς μετὰ τὴν ἡμέ-
ραν ἣν ἤκȣσεν, καὶ λήψεται τὴν ἁμαρτίαν αὐτȣ̃·
[17] Ταῦτα τὰ δικαιώματα ὅσα ἐνετείλατο κύριος τῷ
Μωϋσῇ, ἀναμέσον ἀνδρὸς καὶ ἀναμέσον γυ-
*179 ναικὸς αὐτȣ̃, καὶ ἀ*ναμέσον πατρὸς
καὶ θυγατρὸς· ἐν νεότητι ἐν οἴκῳ πα-
MS τρός· XXXI. [1] καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν
λέγων· [2] ἐκδίκει τὴν ἐκδίκησιν τῶν υἱῶν Ἰσραὴλ ἐκ
τῶν Μαδιανιτῶν, καὶ ἔσχατον προστεθήσῃ πρὸς
τὸν λαόν σȣ· [3] καὶ ἐλάλησεν Μωϋσῆς πρὸς
τὸν λαὸν λέγων· ἐξοπλίσατε ἐξ ὑμῶν ἄνδρας,
καὶ παρατάξασθε ἔναντι κυρίȣ ἐπὶ Μαδιὰμ
ἀποδȣ̃ναι ἐκδίκησιν παρὰ τȣ̃ κυρίȣ τῇ Μαδιάμ·
[4] χιλίȣς ἐκ φυλῆς, καὶ χιλίȣς ἐκ φυλῆς, ἐκ
πασῶν φυλῶν Ἰσραὴλ, ἀποϛείλατε παρατάξα-
σθε· [5] καὶ ἐξηρίθμησαν ἐκ τῶν χιλιάδων Ἰσραὴλ,
δώδεκα χιλιάδας ἐνωπλισμένοι εἰς παράταξιν,
[6] καὶ ἀπέϛειλεν αὐτȣ̀ς Μωϋσῆς χιλίȣς ἐκ φυλῆς,
καὶ χιλίȣς ἐκ φυλῆς συν δυνάμει αὐτῶν· καὶ
Φινεὲς υἱὸς Ἐλεάζαρ υἱȣ̃ Ἀαρὼν τȣ̃ ἱερέως,
καὶ τὰ σκεύη τὰ ἅγια, καὶ αἱ σάλπιγ-
γες τῶν σημασιῶν ἐν ταῖς χερσὶν αὐτῶν·
MZ [7] Καὶ παρετάξαντο ἐπὶ Μαδιὰμ καθὰ ἐνετείλατο
κύριος

MZ ΝΙΚΗ ΤΟΥ ΙΗΛ ΚΑΤΑ ΒΑΛΑΚ᾽ ΒΑCΙΛΕΩC ΜΩΑΒ᾽ ΚΑΙ ΤΩΝ ΠΕΝΤΕ ΒΑCΙΛΕΩΝ ΤΗC ΜΑΔΙΑΜ᾽.

κύριος τῷ Μωϋσῇ, καὶ ἀπέκτειναν πᾶν ἀρσενι-
κὸν, 8 καὶ τοὺς βασιλεῖς Μαδιὰμ ἀπέκτειναν,
ἅμα τοῖς τραυματίαις αὐτῶν· καὶ τὸν Εὐεὶν,
καὶ τὸν Σοὺρ, καὶ τὸν Ῥοκὸμ, καὶ τὸν Οὒρ, καὶ
τὸν Ῥοβὸκ πέντε βασιλεῖς Μαδιὰμ καὶ τὸν Βα-
λαὰμ υἱὸν Βεὼρ, ἀπέκτειναν ἐν ῥομφαίᾳ σὺν
ταῖς τραυματίαις αὐτῶν· 9 καὶ προενόμευσαν τὰς
γυναῖκας αὐτῶν τῶν Μαδιανιτῶν, καὶ τὴν ἀπο-
σκευὴν αὐτῶν, καὶ τὰ κτήνη αὐτῶν, καὶ πάντα
τὰ ἔγκτητα αὐτῶν, καὶ τὴν δύναμιν αὐτῶν
ἐπρονόμευσαν, 10 καὶ πάσας τὰς πόλεις αὐτῶν
τὰς ἐν ταῖς κατοικείαις αὐτῶν, καὶ τὰς ἐπαύλεις
αὐτῶν, ἐνέπρισαν ἐν πυρὶ, 11 καὶ ἔλαβον πᾶσαν
τὴν προνομὴν καὶ πάντα τὰ σκῦλα αὐτῶν, ἀπὸ
ἀνθρώπου ἕως κτήνους, 12 καὶ ἤγαγον πρὸς Μωϋ-
σῆν καὶ πρὸς Ἐλεάζαρ τὸν ἱερέα, καὶ πρὸς πάν-
τας τοὺς υἱοὺς Ἰσραὴλ τὴν αἰχμαλωσίαν, καὶ
τὰ σκῦλα, καὶ τὴν προνομὴν, εἰς τὴν παρεμ-
βολὴν εἰς Ἀραβὼθ Μωὰβ, ἥ ἐστιν ἐπὶ τοῦ Ἰορ-
δάνου κατὰ Ἱεριχώ. * 13 καὶ ἐξῆλθεν Μωϋσῆς καὶ *180
Ἐλεάζαρ ὁ ἱερεὺς, καὶ πάντες οἱ ἄρχοντες τῆς
συναγωγῆς εἰς συνάντησιν αὐτοῖς, ἔξω τῆς παρ-
εμβολῆς· 14 καὶ ὠργίσθη Μωϋσῆς ἐπὶ τοῖς ἐπι-
σκόποις τῆς δυνάμεως, χιλιάρχοις καὶ ἑκατον-
τάρχοις τοῖς ἐρχομένοις ἐκ τῆς παρατάξεως τοῦ
πολέμου· 15 καὶ εἶπεν αὐτοῖς Μωϋσῆς· ἵνατί ἐζω-
γρίσατε πᾶν θῆλυ; 16 αὗται γὰρ ἦσαν τοῖς υἱοῖς
Ἰσραὴλ κατὰ τὸ ῥῆμα Βαλαὰμ τοῦ ἀποστῆσαι
καὶ ὑπεριδεῖν τὸ ῥῆμα κυρίου ἕνεκεν Φογώρ· καὶ
ἐγένετο ἡ πληγὴ ἐν τῇ συναγωγῇ κυρίου· 17 καὶ
νῦν, ἀποκτείνατε πᾶν ἀρσενικὸν ἐν πάσῃ τῇ ἀπαρ-
τίᾳ, καὶ πᾶσαν γυναῖκα ἥτις ἔγνωκεν κοίτην
ἄρσε-

ἄρσενος ἀποκτείνατε· [18] καὶ πᾶσαν τὴν ἀπαρτίαν
τῶν γυναικῶν, ἥτις οὐκ οἶδεν κοίτην ἄρσενος, ζω-
γρίσατε αὐτάς· [19] καὶ ὑμεῖς παρεμβαλεῖτε ἔξω
τῆς παρεμβολῆς ἑπτὰ ἡμέρας· πᾶς ὁ ἀνελῶν
ψυχὴν καὶ ὁ ἁπτόμενος τοῦ τετρωμένου, ἁγνι-
σθήσεται τῇ ἡμέρᾳ τῇ τρίτῃ· καὶ τῇ ἡμέρᾳ τῇ
ἑβδόμῃ, ὑμεῖς καὶ ἡ αἰχμαλωσία ὑμῶν, [20] καὶ
πᾶν περίβλημα, καὶ πᾶν σκεῦος δερμά-
τινον, καὶ πᾶσαν ἐργασίαν ἐξ αἰγίας,
καὶ πᾶν σκεῦος ξύλινον ἀφαγνιεῖτε·
[21] Καὶ εἶπεν Ἐλεάζαρ ὁ ἱερεὺς πρὸς τοὺς ἄνδρας τῆς
δυνάμεως, τοὺς ἐρχομένους ἐκ τῆς παρατάξεως
τοῦ πολέμου· τοῦτο τὸ δικαίωμα τοῦ νόμου, ὃ συν-
έταξεν κύριος τῷ Μωϋσῇ· [22] πλὴν τοῦ χρυσίου,
καὶ τοῦ ἀργυρίου, καὶ χαλκοῦ, καὶ σιδήρου, καὶ
τοῦ μολίβου, καὶ κασσιτέρου· [23] πᾶν πρᾶγμα ὃ
διελεύσεται ἐν πυρὶ z), οὐ καθαρισθήσεται, ἀλλὴ
τῷ ὕδατι τοῦ ἁγνισμοῦ ἁγνισθήσεται· καὶ πάντα
ὅσα ἂν μὴ διαπορεύηται διὰ πυρὸς, διελεύσεται
διὰ ὕδατος. [24] καὶ πλυνεῖσθε τὰ ἱμάτια τῇ
ἡμέρᾳ τῇ ἑβδόμῃ καὶ καθαρισθήσεσθαι, καὶ
μετὰ ταῦτα εἰσελεύσεσθε εἰς τὴν παρεμβολήν·
ΜΗ [25] Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσὴν λέγων· [26] λάβε
τὸ κεφάλαιον τῶν σκύλων τῆς αἰχμαλωσίας
ἀπὸ ἀνθρώπου ἕως κτήνους, σὺ καὶ Ἐλεάζαρ ὁ
*181 ἱερεὺς καὶ οἱ ἄρχοντες τῶν * πατριῶν τῆς συνα-
γωγῆς· [27] καὶ διελεῖτε τὰ σκῦλα, ἀναμέσον τῶν
πολεμιστῶν τῶν ἐκπεπορευμένων εἰς τὴν παράταξιν,
καὶ

ΜΗ ΠΕΡΙ ΔΙΑΝΟΜΗΣ ΣΚΥΛΩΝ.

z) τουτέστιν τὰ διαπορευόμενα διὰ πυρὸς, καὶ τῷ ὕδατι ἁγνισθήσεται, ἃ δε τῷ πυρὶ προσομιλοῦντα φθείρεται, ἀρκεσθήσεται τῷ τοῦ ὕδατος ἁγνισμῷ.

καὶ ἀναμέσον πάσης συναγωγῆς· 28 καὶ ἀφε-
λεῖτε τὸ τέλος κυρίῳ παρὰ τῶν ἀνθρώπων, τῶν
πολεμιςῶν τῶν ἐκπεπορευμένων εἰς τὴν παράτα-
ξιν· μίαν ψυχὴν ἀπὸ πεντακοσίων ἀπὸ τῶν ἀν-
θρώπων, καὶ ἀπὸ τῶν κτηνῶν καὶ ἀπὸ τῶν
βοῶν, καὶ ἀπὸ τῶν προβάτων, καὶ ἀπὸ τῶν
ὄνων, καὶ ἀπὸ τȣ ἡμίσȣς αὐτῶν λήψεσθαι,
29 καὶ δώσεις Ἐλεάζαρ τῷ ἱερεῖ τὰς ἀπαρχὰς κυ-
ρίȣ· 30 καὶ ἀπὸ τȣ ἡμίσȣς τȣ τῶν υἱῶν Ἰσραὴλ
λήψῃ ἕνα ἀπὸ τῶν πεντήκοντα ἀπὸ τῶν ἀνθρώ-
πων, καὶ ἀπὸ τῶν βοῶν, καὶ ἀπὸ τῶν προβά-
των, καὶ ἀπὸ τῶν ὄνων, καὶ ἀπὸ πάντων τῶν
κτηνῶν· καὶ δώσεις αὐτὰ τοῖς Λευΐταις τοῖς φυ-
λάσσȣσιν τὰς φυλακὰς ἐν τῇ σκηνῇ κυρίȣ· 31 καὶ
ἐποίησεν Μωϋσῆς καὶ Ἐλεάζαρ ὁ ἱερεὺς, καθὰ
συνέταξεν κύριος τῷ Μωϋσῇ· 32 καὶ ἐγενήθη τὸ
πλεόνασμα τῆς προνομῆς, ὃ ἐπρονόμευσαν οἱ CH
ἄνδρες οἱ πολεμιςαὶ ἀπὸ τῶν προβάτων ἑξακό-
σιαι χιλιάδες, καὶ ἑβδομήκοντα χιλιάδες, καὶ
πεντακισχίλια· 33 καὶ βοῶν δύο καὶ ἑβδομήκοντα
χιλιάδες· 34 καὶ ὄνων, μία καὶ ἑξήκοντα χιλιά-
δες· 35 καὶ ψυχαὶ ἀνθρώπων, ἀπὸ τῶν γυναικῶν,
αἳ ȣ̓κ ἔγνωσαν κοίτην ἀνδρὸς, πᾶσα ψυχὴ δύο
καὶ τριάκοντα χιλιάδες· 36 καὶ ἐγενήθη τὸ ἡμί-
σευμα ἡ μερὶς τῶν ἐκπεπορευμένων εἰς τὸν πό-
λεμον, ἐκ τȣ ἀριθμȣ τῶν προβάτων τριακόσιαι
χιλιάδες, καὶ τριάκοντα χιλιάδες, καὶ ἑπτακις-
χίλια, καὶ πεντακόσια· 37 καὶ ἐγένετο τὸ τέλος
κυρίῳ ἀπὸ τῶν προβάτων ἑξακόσια ἑβδομήκον-
τα πέντε, 38 καὶ βόες ἓξ, καὶ τριάκοντα χιλιά-
δες, καὶ τὸ τέλος κυρίῳ, δύο καὶ ἑβδομήκοντα·
39 καὶ ὄνοι τριάκοντα χιλιάδες καὶ πεντακόσιοι·
καὶ

καὶ τὸ τέλος κυρίῳ, εἷς καὶ ἑξήκοντα, 40 καὶ
ψυχαὶ ἀνθρώπων ἓξ καὶ δέκα χιλιάδες, καὶ τὸ
τέλος αὐτῶν κυρίῳ, δύο καὶ τριάκοντα ψυ-
χαί· 41 καὶ ἔδωκεν Μωϋσῆς τὸ τέλος κυρίῳ, τὸ
Ἀφαίρεμα τοῦ θεοῦ, Ἐλεάζαρ τῷ ἱερεῖ καθὰ συν-
*182 έταξεν * κύριος τῷ Μωϋσῇ. 42 ἀπὸ τοῦ ἡμισεύ-
ματος a) τῶν υἱῶν Ἰσραὴλ, οὓς διεῖλεν Μωϋσῆς
ἀπὸ τῶν ἀνδρῶν τῶν πολεμιστῶν· 43 καὶ ἐγένετο
τὸ ἡμίσευμα τὸ τῆς συναγωγῆς ἀπὸ τῶν προ-
βάτων, τριακόσιαι χιλιάδες, καὶ τριάκοντα χι-
λιάδες, καὶ ἑπτακισχίλια καὶ πεντακόσια·
44 καὶ βόες ἓξ, καὶ τριάκοντα χιλιάδες· 45 ὄνοι
τριάκοντα χιλιάδες καὶ πεντακόσιοι· 46 καὶ ψυ-
χαὶ ἀνθρώπων, ἓξ καὶ δέκα χιλιάδες· 47 καὶ
ἔλαβεν Μωϋσῆς ἀπὸ τοῦ ἡμισεύματος τῶν υἱῶν
Ἰσραὴλ, ἓν ἀπὸ b) τῶν πεντήκοντα ἀπὸ τῶν
ἀνθρώπων καὶ ἀπὸ τῶν κτηνῶν, καὶ ἔδωκεν αὐτὰ
τοῖς Λευΐταις τοῖς φυλάσσουσιν τὰς φυλακὰς τῆς
σκηνῆς κυρίου, ὃν τρόπον συνέταξεν κύριος τῷ Μωϋ-
σῇ· 48 καὶ προσῆλθον πρὸς Μωϋσῆν πάντες οἱ
ΜΖ Καθεστάμενοι εἰς τὰς χιλιαρχίας τῆς δυνάμεως,
χιλίαρ-

a) τοῦτ᾽ ἔστιν ἐξ αὐτοῦ τοῦ ἡμισεύματος τῶν ἀνδρῶν τῶν πολεμιστῶν, οὓς διεῖλεν Μωϋσῆς ἀπὸ τοῦ λοιποῦ ιηλ, ὡς ἂν εἴποι τίς ἀπὸ τοῦ ἡμισεύματος, ὃ συνέστησεν Μωϋσῆς ἐκ τῶν ἀνδρῶν τῶν πολεμιστῶν διελὼν αὐτοὺς τῶν ἄλλων, τῶν μὴ ἐκπορευομένων εἰς τὸν πόλεμον.

b) καὶ ἐνταῦθα πάλιν τὸ ἓν ἀπὸ τῶν ν̄ κατὰ τὸν τύπον τὸν ἐπὶ τῶν ἀνδρῶν τῶν πολεμιστῶν νοητέον· ὥσπερ γὰρ ἐκεῖ εἶπεν, μίαν ψυχὴν ἀπὸ πεντακοσίων καὶ ἀπὸ ἑκάστης χιλιάδος ἔλαβεν μίαν ψυχὴν ἐκ πάσης τῆς προνομῆς· ὡς δηλοῖ σαφῶς ὁ τῆς ψήφου συλλογισμός· οὕτως καὶ ἐνταῦθα εἰπὼν, ἓν ἀπὸ τῶν ν̄ ἐξ ἑκάστης ἑκατοντάδος εν βούλεται λαμβάνεσθαι τῆς πάσης προνομῆς ἅμα σκοπουμένης.

χιλίαρχοι καὶ ἑκατόνταρχοι, καὶ εἶπαν πρὸς
Μωϋσῆν· 49 οἱ παῖδές σου εἰλήφασιν τὸ κεφάλαιον
τῶν ἀνδρῶν τῶν πολεμιστῶν τῶν παρ᾽ ἡμῶν, καὶ
οὐ διαπεφώνηκεν ἀπ᾽ αὐτῶν οὐδεείς· 50 καὶ προσ-
ενηνόχαμεν τὸ δῶρον κυρίῳ ἀνὴρ ὃ εὗρεν σκεῦος
χρυσοῦν, χλίδωνα, καὶ ψέλιον, καὶ δακτύλιον
καὶ περιδέξιον, καὶ ἐμπλόκιον, ἐξιλάσασθαι πε-
ρὶ ἡμῶν ἔναντι κυρίου· 51 καὶ ἔλαβεν Μωϋσῆς καὶ
Ἐλεάζαρ ὁ ἱερεὺς τὸ χρυσίον παρ᾽ αὐτῶν, πᾶν
σκεῦος εἰργασμένον· 52 καὶ ἐγένετο πᾶν τὸ χρυ-
σίον τὸ ἀφαίρεμα ὃ ἀφεῖλον κυρίῳ, ἓξ καὶ δέκα
χιλιάδες καὶ ἑπτακόσιοι, καὶ πεντήκοντα σίκλοι,
παρὰ τῶν χιλιάρχων καὶ παρὰ τῶν ἑκατοντάρ-
χων· 53 καὶ οἱ ἄνδρες οἱ πολεμισταὶ ἐπρονόμευσαν
ἕκαστος ἑαυτῷ· 54 καὶ ἔλαβεν Μωϋσῆς καὶ Ἐλεά-
ζαρ ὁ ἱερεὺς τὸ χρυσίον παρὰ τῶν χιλιάρχων
καὶ παρὰ τῶν ἑκατοντάρχων, καὶ εἰσήνεγκαν
αὐτὰ εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, μνημόσυνον
τῶν υἱῶν Ἰσραὴλ ἔναντι κυρίου· XXXII. 1 καὶ
κτήνη πλῆθος ἦν τοῖς υἱοῖς Ῥουβὴν, καὶ τοῖς υἱοῖς
Γὰδ πλῆθος πολὺ σφόδρα· καὶ ἴδον τὴν χώραν
Ἰαζὴρ, καὶ τὴν χώραν Γαλαὰδ * καὶ ἦν ὁ τό- *183
πος, τόπος κτήνεσιν· 2 καὶ προσελθόντες οἱ υἱοὶ
Ῥουβὴν, καὶ οἱ υἱοὶ Γὰδ, εἶπαν πρὸς Μωϋσῆν
καὶ πρὸς Ἐλεάζαρ τὸν ἱερέα καὶ πρὸς τοὺς ἄρ-
χοντας τῆς συναγωγῆς λέγοντες· 3 Ἀταρὼθ καὶ
Δαιβὼν, καὶ Ἰαζὴρ, καὶ Ἀμρὰμ καὶ Ἐσε-
βὼν, καὶ Ἐλεαλὴ, καὶ Ἐσεβαμὰ, καὶ Ναβαῦ,
καὶ Βαιὰν, 4 τὴν γῆν ἣν παρέδωκεν κύριος
ἐνώπιον υἱῶν Ἰσραὴλ, γῆ κτηνοτρόφος ἐστὶν καὶ
τοῖς παισίν σου κτήνη ὑπάρχει, 5 καὶ ἐλέγοσαν·
εἰ εὕρομεν χάριν ἐνώπιόν σου, δοθήτω ἡ γῆ αὕτη,

τοῖς

τοῖς πᾶσίν σȣ ἐν κατασχέσει, καὶ μὴ διαβι-
βάσῃς ἡμᾶς τὸν Ἰορδάνην· 6 καὶ εἶπεν Μωϋσῆς
τοῖς υἱοῖς Γὰδ καὶ τοῖς υἱοῖς Ῥȣβήν· οἱ ἀδελ-
φοὶ ὑμῶν, πορεύσονται εἰς τὸν πόλεμον, καὶ
ὑμεῖς καθήσεσθε αὐτȣ; 7 καὶ ἱνατί διαστρέφε-
ται τὰς καρδίας τῶν υἱῶν Ἰσραὴλ μὴ διαβῆ-
ναι εἰς τὴν γῆν ἣν κύριος δίδωσιν αὐτοῖς· 8 ȣχ
ȣτως ἐποίησαν οἱ πατέρες ὑμῶν, ὅτε ἀπέστει-
λα αὐτȣς ἐκ Κάδης Βαρνὴ, κατανοῆσαι τὴν γῆν·
9 καὶ ἀνέβησαν εἰς φάραγγα βότρυος, καὶ
κατενόησαν τὴν γῆν καὶ ἀπέστησαν τὴν καρδίαν
τῶν υἱῶν Ἰσραὴλ, ὅπως μὴ εἰσέλθωσιν εἰς τὴν γῆν,
ἣν ἔδωκεν αὐτοῖς κύριος· 10 καὶ ὠργίσθη θυμῷ
κύριος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ὤμοσεν λέγων·
11 εἰ ὄψονται οἱ ἄνθρωποι ȣτοι, οἱ ἀναβάντες ἐξ
Αἰγύπτȣ ἀπὸ εἰκοσαετȣς καὶ ἐπάνω, οἱ ἐπιστά-
μενοι τὸ ἀγαθὸν καὶ τὸ κακὸν, τὴν γῆν ἣν
ὤμοσα τῷ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ·
ȣ γὰρ συνεπηκολȣθησαν ὀπίσω μȣ, 12 πλὴν
Χαλὲβ υἱὸς Ἰεφονὴ ὁ δι κεχωρισμένος c), καὶ
Ἰησȣς ὁ τȣ Ναυὴ, ὅτι συνεπηκολȣθησαν ὀπίσω
κυρίȣ· 13 καὶ ὠργίσθη θυμῷ κύριος ἐπὶ τὸν Ἰσ-
ραὴλ, καὶ κατερέμβευσεν αὐτȣς ἐν τῇ ἐρήμῳ
τεσσαράκοντα ἔτη, ἕως ἐξανηλώθη πᾶσα ἡ γε-
νεὰ, οἱ ποιȣντες τὰ πονηρὰ ἔναντι κυρίȣ· 14 ἰδȣ
ἀνέστητε ἀντὶ τῶν πατέρων ὑμῶν, σύστρεμμα
ἀνθρώπων ἁμαρτωλῶν προσθῆναι ἔτι ἐπὶ τὸν
θυμὸν τῆς ὀργῆς κυρίȣ ἐπὶ Ἰσραὴλ, 15 ὅτι ἀπο-
*184 στραφήσεσθε ἀπ' αὐτȣ, προ*σθεῖναι ἔτι καταλεί-
πειν αὐτὸν ἐν τῇ ἐρήμῳ, καὶ ἀνομήσετε εἰς ὅλην
τὴν συναγωγὴν ταύτην· 16 καὶ προσῆλθον αὐτῷ
καὶ

c) οἱ Λ. ὁ κενεζαῖος.

καὶ ἔλεγον· ἐπαύλεις προβάτων οἰκοδομήσωμεν
ὧδε τοῖς κτήνεσιν ἡμῶν, καὶ πόλεις ταῖς ἀπο-
σκευαῖς ἡμῶν, 17 καὶ ἡμεῖς ἐνοπλισμένοι παρε-
λευσόμεθα προφυλακὴ πρότεροι τῶν υἱῶν Ἰσραὴλ,
ἕως ἀναγάγωμεν αὐτοὺς εἰς τὸν αὐτῶν τόπον·
καὶ κατοικήσει ἡ ἀποσκευὴ ἡμῶν ἐν πόλεσιν τε-
τειχισμέναις, διὰ τοὺς κατοικοῦντας τὴν γῆν;
18 οὐ μὴ ἀποστραφῶμεν εἰς τὰς οἰκίας ἡμῶν, ἕως
ἂν καταμερισθῶσιν οἱ υἱοὶ Ἰσραὴλ, ἕκαστος εἰς
τὴν κληρονομίαν αὐτοῦ, 19 καὶ οὐκ ἔτι κληρονομή-
σομεν ἐν αὐτοῖς, ἀπὸ τοῦ πέραν τοῦ Ἰορδάνου
καὶ ἐπέκεινα, ὅτι ἀπέχομεν τοὺς κλήρους
ἡμῶν ἐν τῷ πέραν τοῦ Ἰορδάνου ἐν ἀνατολαῖς·
20 Καὶ εἶπεν πρὸς αὐτοὺς Μωϋσῆς, ἐὰν ποιήσητε κα-
τὰ τὸ ῥῆμα τοῦτο, ἐὰν ἐξοπλίσησθε ἔναντι κυ-
ρίου εἰς πόλεμον, 21 καὶ παρελεύσεται ὑμῶν πᾶς
ὁπλείτης τὸν Ἰορδάνην ἔναντι κυρίου, ἕως ἂν ἐκ-
τριβῇ ὁ ἐχθρὸς αὐτοῦ ἀπὸ προσώπου αὐτοῦ, 22 καὶ
κατακυριευθῇ ἡ γῆ ἔναντι κυρίου καὶ μετὰ ταῦ-
τα ἀποστραφήσεσθαι, καὶ ἔσεσθαι ἀθῶοι ἔναντι
κυρίου, καὶ ἀπὸ Ἰσραὴλ, καὶ ἔσται ἡ γῆ αὕτη
ὑμῖν ἐν κατασχέσει ἔναντι κυρίου. 23 ἐὰν δὲ μὴ
ποιήσητε οὕτως, ἁμαρτήσεσθε ἔναντι κυρίου, καὶ
γνώσεσθε τὴν ἁμαρτίαν ὑμῶν, ὅταν ὑμᾶς κατα-
λάβῃ τὰ κακά. 24 καὶ οἰκοδομήσετε ὑμῖν ἑαυ-
τοῖς πόλεις τῇ ἀποσκευῇ ὑμῶν, καὶ ἐπαύλεις
τοῖς κτήνεσιν ὑμῶν, καὶ τὸ ἐκπορευόμενον ἐκ τοῦ
στόματος ὑμῶν ποιήσετε· 25 καὶ εἶπαν οἱ υἱοὶ Ῥου-
βὴν, καὶ οἱ υἱοὶ Γὰδ πρὸς Μωϋσῆν λέγοντες·
οἱ παῖδές σου ποιήσουσιν καθὰ ὁ κύριος ἡμῶν
ἐντέλλεται, 26 ἡ ἀποσκευὴ ἡμῶν, καὶ αἱ γυναῖ-
κες ἡμῶν, καὶ πάντα τὰ κτήνη ἡμῶν, ἔσονται

ἐν ταῖς πόλεσιν Γαλαάδ· 27 οἱ δὲ παῖδές σου
παρελεύσονται πάντες ἐνοπλισμένοι ἐκτεταγμέ-
νοι ἔναντι κυρίου εἰς τὸν πόλεμον, ὃν τρόπον ὁ
*185 κύριος λέγει· 28 καὶ συνέστησεν αὐτοῖς Μωϋσῆς *
Ἐλεάζαρ τὸν ἱερέα, καὶ Ἰησοῦν υἱὸν Ναυὴ καὶ
τοὺς ἄρχοντας πατριῶν τῶν φυλῶν Ἰσραήλ· 29 καὶ
εἶπεν πρὸς αὐτοὺς Μωϋσῆς· ἐὰν διαβῶσιν οἱ υἱοὶ
Ῥουβὴν, καὶ οἱ υἱοὶ Γὰδ μεθ' ὑμῶν τὸν Ἰορδά-
νην, πᾶς ἐνωπλισμένος εἰς πόλεμον ἔναντι κυ-
ρίου, καὶ κατακυριεύσητε τῆς γῆς ἀπέναντι ὑμῶν·
καὶ δώσετε αὐτοῖς τὴν γῆν Γαλαὰδ ἐν κατα-
σχέσει· 30 ἐὰν δὲ μὴ διαβῶσιν ἐνωπλισμένοι
μεθ' ὑμῶν εἰς πόλεμον ἔναντι κυρίου, καὶ δια-
βιβάσητε τὴν ἀποσκευὴν αὐτῶν, καὶ τὰς γυ-
ναῖκας αὐτῶν καὶ τὰ κτήνη αὐτῶν, πρότερα
ὑμῶν εἰς γῆν Χαναάν, καὶ συγκατακληρονομη-
θήσονται ἐν ὑμῖν ἐν τῇ γῇ Χαναάν· 31 καὶ ἀπε-
κρίθησαν οἱ υἱοὶ Ῥουβὴν, καὶ οἱ υἱοὶ Γὰδ λέ-
γοντες· ὅσα ὁ κύριος λέγει τοῖς θεράπουσιν αὐ-
τοῦ, οὕτως καὶ ποιήσομεν, ἡμεῖς 32 διαβησόμεθα
ἐνωπλισμένοι ἔναντι κυρίου εἰς γῆν Χαναάν· καὶ
δώσετε τὴν κατάσχεσιν ἡμῖν ἐν τῷ πέραν
ΜΘ τοῦ Ἰορδάνου· 33 καὶ ἔδωκεν Μωϋσῆς τοῖς
Υἱοῖς Γὰδ καὶ τοῖς υἱοῖς Ῥουβὴν, καὶ τῷ ἡμίσει
φυλῆς Μανασσῆ υἱῶ Ἰωσὴφ τὴν βασιλείαν Σηὼν
βασιλέως Ἀμορραίων, καὶ τὴν βασιλείαν Ὢγ
βασιλέως τῆς Βασὰν τὴν γῆν καὶ τὰς πόλεις
σὺν τοῖς ὁρίοις αὐτῆς, πόλεις τῆς γῆς κύκλῳ·
34 καὶ ᾠκοδόμησαν οἱ υἱοὶ Γὰδ τὴν Δαιβὼν καὶ
τὴν Ἀσαρὼθ καὶ τὴν Ἀροὴρ, 35 καὶ τὴν Σωφὰρ,
καὶ

ΜΘ ΚΛΗΡΟΔΟΣΙΑ ΤΟΙΣ ΥΙΟΙΣ ΡΟΥΒΗΝ ΚΑΙ ΓΑΔ ΚΑΙ ΤΩ ΗΜΙΣΕΙ ΦΥΛΗΣ ΜΑΝΑΣΣΗ.

καὶ τὴν Ἰαζὴρ καὶ ὕψωσαν αὐτάς, 36 καὶ τὴν
Ἀμρὰν, καὶ τὴν Βαιθάῤῥαν, πόλεις ὀχυρὰς, καὶ
ἐπαύλεις προβάτων· 37 καὶ υἱοὶ Ῥȣβὴν ᾠκοδόμη-
σαν τὴν Ἐσεβὼν, καὶ Ἐλεαλη, καὶ Καριαθαὶμ·
38 καὶ τὴν Ναβὼ, καὶ τὴν Βεελμεὼν, περικεκυκλω-
μένας d), καὶ τὴν Σεβαμὰ, καὶ ἐπωνόμασαν κα-
τὰ τὰ ὀνόματα αὐτῶν, τὰ ὀνόματα τῶν πόλε-
ων, ἃς, ᾠκοδόμησαν· 39 καὶ ἐπορεύθη
υἱὸς Μαχεὶρ υἱὸς Μανασσῆ εἰς Γαλαὰδ καὶ
ἔλαβεν αὐτὴν, καὶ ἀπώλεσεν τὸν Ἀμοῤῥαῖον τὸν
κατοικȣ͂ντα ἐν αὐτῇ· 40 καὶ ἔδωκεν Μωϋσῆς τὴν
Γαλαὰδ τῷ Μαχεὶρ υἱῷ Μανασσῆ, καὶ κατῴ*κη- *186
σεν ἐκεῖ, 41 καὶ Ἰαεὶρ, ὁ τȣ͂ Μανασσῆ ἐπορεύ-
θη καὶ ἔλαβεν τὰς ἐπαύλεις αὐτῶν, καὶ ἐπω-
νόμασεν αὐτὰς ἐπαύλεις Ἰαείρ· 42 καὶ Να-
βαῦ, ἐπορεύθη καὶ ἔλαβεν τὴν Κα-
ναὰθ καὶ τὰς κώμας αὐτῆς καὶ ἐπωνόμα-
σεν αὐτὰς Ναβὼθ ἐκ τȣ͂ ὀνόματος αὐτȣ͂· MH
XXXIII. 1 Καὶ ȣ͂τοι ϛαθμοὶ τῶν υἱῶν Ἰσραὴλ, ὡς N
ἐξῆλθον ἐκ γῆς Αἰγύπτȣ σὺν δυνάμει αὐτῶν,
ἐν χειρὶ Μωϋσῆ καὶ Ἀαρὼν, 2 καὶ ἔγραψεν Μωϋ-
σῆς τὰς ἀπάρσεις αὐτῶν, καὶ τȣ̀ς ϛαθμȣ̀ς αὐ-
τῶν διὰ ῥήματος κυρίȣ, καὶ ȣ͂τοι ϛαθμοὶ τῆς
πορείας αὐτῶν· A
3 Ἀπῆραν ἐκ Ῥαμεσσῆ τῷ μηνὶ τῷ πρώτῳ,
τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τȣ͂ μηνὸς τȣ͂ πρώ-
τȣ τῇ ἐπαύριον τȣ͂ πάσχα, καὶ ἐξῆλθον
οἱ υἱοὶ Ἰσραὴλ ἐν χειρὶ ὑψιλῇ ἐναντίον πάντων
τῶν Αἰγυπτίων, 4 καὶ οἱ Αἰγύπτιοι, ἔθαπτον ἐξ
αὐτῶν τȣ̀ς τεθνηκότας πάντας, ὅσȣς ἐπάταξεν



N ΠΩC ΔΙΩΔΕΥCAN ΟΙ ΥΙΟΙ ΙΗΛ.

d) CT. περιτετειχισμένας.

κύριος, πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ, καὶ
ἐν τοῖς θεοῖς αὐτῶν ἐποίησεν τὴν ἐκδίκησιν
κύριος·
Β [5] Καὶ ἀπάραντες οἱ υἱοὶ Ἰσραὴλ ἐκ Ῥαμεσσῆ, παρεν-
έβαλον εἰς Σοχώθ·
Γ [6] Καὶ ἀπῆραν ἐκ Σοχὼθ' καὶ παρενέβαλον εἰς Βȣ-
θὰν, ὅ ἐςιν μέρος τί τῆς ἐρήμȣ·
Δ [7] Καὶ ἀπῆραν ἐκ Βȣθὰν, καὶ παρενέβαλον ἐπὶ ςό-
μα Εἰρὼθ' ὅ ἐςιν ἀπέναντι e) Βεελσεπφων, καὶ
παρενέβαλον ἀπέναντι Μαγδαλȣ·
Ε [8] Καὶ ἀπῆραν ἀπέναντι Εἰρὼθ' καὶ διέβησαν μέσον
τῆς θαλάσσης εἰς τὴν ἔρημον, καὶ ἐπορεύθησαν
ὁδὸν τριῶν ἡμερῶν διὰ τῆς ἐρήμȣ, αὐτοὶ καὶ
παρενέβαλον ἐν πικρίαις·
Ϛ [9] Καὶ ἀπῆραν ἐκ πικριῶν καὶ ἦλθον εἰς Αἰλεὶμ' καὶ
ἐν Αἰλεὶμ' δώδεκα πηγαὶ ὑδάτων, καὶ ἑβδομή-
κοντα ςελέχη φοινίκων, καὶ παρενέβαλον ἐκεῖ
παρὰ τὸ ὕδωρ·
Ζ [10] Καὶ ἀπῆραν ἐξ Αἰλεὶμ' καὶ παρενέβαλον ἐπὶ θά-
λασσαν ἐρυθράν·
Η [11] * Καὶ ἀπῆραν ἀπὸ θαλάσσης ἐρυθρᾶς, καὶ παρεν-
*187 έβαλον ἐν τῇ ἐρήμῳ Σίν·
Θ [12] Καὶ ἀπῆραν ἐκ τῆς ἐρήμȣ Σὶν, καὶ παρενέβαλον
εἰς Ῥαφακά·
Ι [13] Καὶ ἀπῆραν ἐκ Ῥαφακὰ, καὶ παρενέβαλον ἐν
Αἰλȣ̀ς·
ΙΑ [14] Καὶ ἀπῆραν ἐξ Αἰλȣ̀ς, καὶ παρενέβαλον ἐν Ῥα-
φήδιν, καὶ ȣ̓κ ἦν ὕδωρ τῷ λαῷ ἐκεῖ πιεῖν·

[15] Καὶ

e) τινὰ τῶν ἀντιγράφων ȣ̔́τως ἔχει· καὶ ἀπῆραν ἀπὸ ςόματος ἐπιειρὼθ' καὶ παρενέβαλον ἀπέναντι μαγδώλȣ· καὶ ἀπῆραν ἐκ μαγδώλȣ, καὶ διέβησαν μέσον τῆς θαλάσσης.

15 Καὶ ἀπῆραν ἐκ Ῥαφηδὶν, καὶ παρενέβαλον ἐν τῇ ΙΒ
ἐρήμῳ Σιναί·
16 Καὶ ἀπῆραν ἐκ τῆς ἐρήμου Σιναὶ, καὶ παρενέβα- ΙΓ
λον ἐν μνήμασιν τῆς ἐπιθυμίας·
17 Καὶ ἀπῆραν ἐκ μνημάτων τῆς ἐπιθυμίας, καὶ ΙΔ
παρενέβαλον ἐν Ἀσηρώθ·
18 Καὶ ἀπῆραν ἐξ Ἀσηρὼθ καὶ παρενέβαλον εἰς Ῥα- ΙΕ
θαμά·
19 Καὶ ἀπῆραν ἐκ Ῥαθαμὰ, καὶ παρενέβαλον ἐν ΙS
Ῥεμμὼν Φαρές·
20 Καὶ ἀπῆραν ἐκ Ῥεμμὼν Φαρὲς, καὶ παρενέβαλον ΙΖ
ἐν Λεβωνά·
21 Καὶ ἀπῆραν ἐκ Λεβωνὰ, καὶ παρενέβαλον εἰς ΙΗ
Δεσσά·
22 Καὶ ἀπῆραν ἐκ Δεσσὰ, καὶ παρενέβαλον εἰς Μα- ΙΘ
κελλάθ·
23 Καὶ ἀπῆραν ἐκ Μακελλὰθ καὶ παρενέβαλον εἰς Κ
Ἀρσαφάρ f)·
24 Καὶ ἀπῆραν ἐκ Ἀρσαφὰρ, καὶ παρενέβαλον εἰς ΚΑ
Χαραδάθ·
25 Καὶ ἀπῆραν ἐκ Χαραδὰθ καὶ παρενέβαλον εἰς ΚΒ
Μακηδώθ·
26 Καὶ ἀπῆραν ἐκ Μακηδὼθ καὶ παρενέβαλον εἰς ΚΓ
Καταάθ·
27 Καὶ ἀπῆραν ἐκ Καταὰθ καὶ παρενέβαλον εἰς ΚΔ
Θαράθ·
28 Καὶ ἀπῆραν ἐκ Θαρὰθ καὶ παρενέβαλον εἰς ΚΕ
Μαθεκκά·
29 Καὶ ἀπῆραν ἐκ Μαθεκκὰ, καὶ παρενέβαλον εἰς ΚS
Ἀσελμωνά·



f) οἱ Λ. ὄρος σαφάρ.

Κ 30 * Καὶ ἀπῆραν ἐξ Ἀσελμωνὰ, καὶ παρενέβαλον εἰς
*188 Μασσȣρὲȣθ·
ΚΗ 31 Καὶ ἀπῆραν ἐκ Μασσȣρȣ̀θ καὶ παρενέβαλον εἰς
Βανακκάν·
ΚΘ 32 Καὶ ἀπῆραν ἐκ Βανακκὰν, καὶ παρενέβαλον εἰς τὸ
ὄρος Γαδγάδ·
Λ 33 Καὶ ἀπῆραν ἐκ τȣ̃ ὄρȣς Γαδγὰδ, καὶ παρενέβα-
λον εἰς Ιετεβαθά·
ΛΑ 34 Καὶ ἀπῆραν ἐξ Ιεταβαθὰ, καὶ παρενέβαλον εἰς
Cεβρωνά·
ΛΒ 35 Καὶ ἀπῆραν ἐκ Cεβρωνὰ, καὶ παρενέβαλον ἐν Γε-
σιὼν Γαβέρ·
ΛΓ 36 Καὶ ἀπῆραν ἐκ Γεσιὼν Γαβὲρ, καὶ παρενέβαλον
ἐν τῇ ἐρήμῳ Cίν·
ΛΔ Καὶ ἀπῆραν ἐκ τῆς ἐρήμȣ Cὶν, καὶ παρενέβαλον εἰς
τὴν ἔρημον Φαρὰν, αὕτη ἐςὶν Κάδης·
ΛΕ 37 Καὶ ἀπάραντες ἐκ Κάδης, παρενέβαλον εἰς Ὢρ
τὸ ὄρος, πλησίον τῆς Ἐδὼμ' 38 καὶ ἀνέβη Ἀαρὼν
ὁ ἱερεὺς διὰ προςάγματος κυρίȣ, καὶ ἀπέθανεν
ἐκεῖ ἐν τῷ τεσσαρακοςῷ ἔτει τῆς ἐξόδȣ τῶν
υἱῶν g) Ἰσραὴλ ἐκ γῆς Αἰγύπτȣ τῷ μηνὶ τῷ
πέμπτῳ μιᾷ τȣ̃ μηνός· 39 καὶ Ἀαρὼν ἦν τριῶν
καὶ εἴκοσι καὶ ἑκατὸν ἐτῶν, ὅτε ἀπέθνησκεν ἐν
Ὢρ τῷ ὄρει· 40 καὶ ἀκȣ́σας ὁ Χάνανις βασιλεὺς
Ἀρὰδ καὶ αὐτὸς κατῴκει ἐν γῇ Χαναὰν, ὅτε
εἰσεπορεύοντο οἱ υἱοὶ Ἰσραήλ· 41 καὶ ἀπῆραν ἐξ
Ὢρ τȣ̃ ὄρȣς, καὶ παρενέβαλον ἐν Cελμωνά·
ΛϚ 42 Καὶ ἀπῆραν ἐκ Cελμωνὰ, καὶ παρενέβαλον ἐν
Φινῶ·

43 Καὶ

g) ἐν τῇ αὐτῇ ταύτῃ ἡμέρᾳ τȣ́τȣ τȣ̃ μηνὸς, ἐτελειώθη καὶ ὁ μακάριος τιμόθεος ὁ ἀρχιερεὺς ἀλεξανδρείας, μᾶλλον δὲ πάσης τῆς οἰκȣμένης ὁ δεύτερος ἀαρών.

43 Καὶ ἀπῆραν ἐκ Φινῶ, καὶ παρενέβαλον ἐν ΛΖ
Ὠβώθ·
44 Καὶ ἀπῆραν ἐκ Ὠβὼθ καὶ παρενέβαλον ἐν Γαῒ h) ΛΗ
ἐν τῷ πέραν, ἐπὶ τῶν ὁρίων Μωάβ i)·
45 Καὶ ἀπῆραν ἐκ Γαῒ, καὶ παρενέβαλον εἰς Δαι- ΛΘ
βὼν Γάδ·
46 Καὶ ἀπῆραν ἐκ Δαιβὼν Γὰδ, καὶ παρενέβαλον Μ
εἰς Γελμὼν Δεβλαθαίμ·
47 *Καὶ ἀπῆραν ἐκ Γελμὼν Δεβλαθαὶμ καὶ παρ- ΜΑ
ενέβαλον ἐπὶ τὰ ὄρη τὰ Ἀβαρὶμ ἀπέναντι Να- *189
βαῦ· 48 καὶ ἀπῆραν ἀπὸ ὀρέων Ἀβαρὶμ, καὶ
παρενέβαλον ἐπὶ δυσμῶν Μωὰβ ἐπὶ τοῦ Ἰορ-
δάνου κατὰ Ἱεριχώ·
49 Καὶ ἀπῆραν ἀπὸ δυσμῶν Μωὰβ καὶ παρενέ- ΜΒ
βαλον παρὰ τὸν Ἰορδάνην ἀναμέσον Αἰσιμὼθ
ἕως Βελσαττὴν κατὰ δυσμὰς Μωάβ·
50 Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν ἐπὶ δυσμῶν ΜΘ
Μωὰβ παρὰ τὸν Ἰορδάνην κατὰ Ἱεριχὼ λέ-
γων· 51 λάλησον τοῖς υἱοῖς Ἰσραὴλ καὶ ἐρεῖς πρὸς
αὐτούς· ὑμεῖς διαβαίνετε τὸν Ἰορδάνην εἰς γῆν
Χαναὰν, 52 καὶ ἀπολεῖτε πάντας τοὺς κατοικοῦν-
τας ἐν τῇ γῇ πρὸ προσώπου ὑμῶν, καὶ ἐξα-
ρεῖτε τὰς σκοπιὰς αὐτῶν, καὶ πάντα τὰ εἴ-
δωλα τὰ χωνευτὰ αὐτῶν ἀπολεῖτε αὐτὰ, καὶ
πάσας τὰς στήλας αὐτῶν ἐξαρεῖτε· 53 καὶ ἀπο-
λεῖτε πάντας τοὺς κατοικοῦντας τὴν γῆν καὶ
κατοικήσετε ἐν αὐτῇ. ὑμῖν γὰρ δέδωκα τὴν
Η 4 γῆν

h) cr. τοῖς ὑψιλοῖς.

i) καὶ μὴν ἄνω ἐν τῷ λε καὶ λς κεφαλαίῳ μετὰ τὴν πληγὴν τῶν ὄφεων μεθ᾽ ὃ ἦλθον ἐπὶ τὸ φρέαρ καὶ ἔπιον, καὶ ἑτέρων τόπων, ὀνόματα καταλέγει, καὶ λέγομεν ὅτι ἐνταῦθα μόνον τῶν τόπων μέμνηται ἐν οἷς καὶ παρενέβαλον καὶ ἐξ ὧν ἐποιοῦντο τὰς ἀπάρσεις, ἐκεῖ δὲ καὶ τούτων, οὓς διὰ τῆς πορείας παρημείβον.

γῆν αὐτῶν ἐν κλήρῳ, 54 καὶ κατακληρονομήσε-
τε τὴν γῆν αὐτῶν ἐν κλήρῳ κατὰ φυλὰς ὑμῶν
τοῖς πλείοσιν πληθυνεῖτε τὴν κατάσχεσιν αὐ-
τῶν· καὶ τοῖς ἐλάττοσιν ἐλαττώσετε τὴν κατά-
σχεσιν αὐτῶν, εἰς ὃ ἂν ἐξέλθῃ τὸ ὄνομα αὐ-
τȣ̃ ἐκεῖ, αὐτȣ̃ ἔςαι ὁ κλῆρος κατὰ φυλὰς πα-
τριῶν ὑμῶν κληρονομήσετε· 55 ἐὰν δὲ μὴ ἀπο-
λέσητε τȣ̀ς κατοικȣ̃ντας ἐπὶ τῆς γῆς ἀπὸ προσ-
ώπȣ ὑμῶν, καὶ ἔςαι ȣ̃ς ἂν καταλείπητε ἐξ
αὐτῶν, σκόλοπες ἐν τοῖς ὀφθαλμοῖς ὑμῶν,
καὶ βολίδες ἐν ταῖς πλευραῖς ὑμῶν· καὶ
ἐχθρεύσȣσιν ὑμῖν ἐπὶ τῆς γῆς, ἐφ' ἣν ὑμεῖς
κατοικήσετε, 56 καὶ ἔςαι καθότι διεγνώ-
κειν ποιῆσαι αὐτȣ̀ς, ποιήσω ὑμᾶς·
XXXIIII. 1 καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν
ΝΑ λέγων· 2 ἔντειλαι τοῖς υἱοῖς Ἰσραὴλ καὶ ἐρεῖς
πρὸς αὐτȣ̀ς· ὑμεῖς εἰσπορεύεσθε εἰς τὴν γῆν
Χαναάν· αὕτη ἡ γῆ ἐςὶν ὑμῖν εἰς κληρονομίαν,
γῆ Χαναὰν σὺν τοῖς ὁρίοις αὐτῆς, 3 καὶ ἔςαι
ὑμῖν τὸ κλῆτος τὸ πρὸς λίβα ἀπὸ ἐρήμȣ
*190 Σὶν, * ἕως ἐχόμενον Ἐδὼμ' καὶ ἔςαι ὑμῖν τὰ
ὅρια τὰ πρὸς λίβα ἀπὸ μέρȣς τῆς θαλάσ-
σης τῆς ἁλυκῆς ἀπὸ ἀνατολῶν, 4 καὶ κυκλώ-
σει ὑμᾶς τὰ ὅρια ἀπὸ λιβὸς, πρὸς ἀνάβασιν
Ἀκραβείν· καὶ παρελεύσεται ὁ Ἐννάκ' καὶ ἔςαι
ἡ διέξοδος αὐτȣ̃ πρὸς λίβα Κάδης τȣ̃ Βαρνή·
καὶ ἐξελεύσεται εἰς ἔπαυλιν Ἀρὰδ' καὶ παρε-
λεύσεται Ἀσελμωνὰ 5 καὶ κυκλώσει τὰ ὅρια
ἀπὸ Ἀσελμωνα χειμάρȣν Αἰγύπτȣ, καὶ ἔςαι
ἡ διέξοδος ἡ θάλασσα ἡ μεγάλη, 6 καὶ τὰ
ὅρια τῆς θαλάσσης ἔςαι ὑμῖν· ἡ θάλασσα ἡ
μεγά-

ΝΑ ΟΡΙΑ ΤΗϹ ΓΗϹ ΗΝ ΕΧΕΙΡΩϹΑΝΤΟ ΟΙ
ΥΙΟΙ ΙΗΛ.

μεγάλη ὁριεῖ τῦτο ἔςαι ὑμῖν τὰ ὅρια τῆς θα-
λάσσης, 7 καὶ τῦτο ἔςαι ὑμῖν, τὰ ὅρια τὰ
πρὸς βοῤῥάν· ἀπὸ θαλάσσης τῆς μεγάλης κα-
ταμετρήσεται ὑμῖν αὐτοῖς παρὰ τὸ ὄρος· 8 καὶ
ἀπὸ τῦ ὄρυς, τὸ ὄρος καταμετρήσετε αὐτοῖς
εἰσπορευομένων εἰς Αἰμάθ· καὶ ἔςαι ἡ διέξο-
δος αὐτῦ τὰ ὅρια ασαδάκ· 9 καὶ ἐξελεύσε-
ται τὰ ὅρια ζεφρωνα, καὶ ἔςαι ἡ διέξοδος αὐ-
τῦ Ἀρσεναειν, τῦτο ἔςαι ὑμῖν ὅρια ἀπὸ βοῤ-
ῥά· 10 καὶ καταμετρήσεται ὑμῖν αὐτοῖς τὰ
ὅρια ἀνατολῶν, ἀπὸ Ἀρσεναειν, ἕως Σεμφαμαρ,
11 καὶ καταβήσεται τὰ ὅρια ἀπὸ Σεπφαμαρ
Βηλα, ἀπὸ ἀνατολῶν ἐπὶ πηγάς, καὶ κατα-
βήσεται τὰ ὅρια Βηλα ἐπὶ νότυ θαλάσσης
Χεννερὲθ' ἀπὸ ἀνατολῶν· 12 καὶ καταβήσεται
τὰ ὅρια ἐπὶ τὸν Ἰορδάνην, καὶ ἔςαι ἡ διέξοδος
θάλασσα ἡ ἁλυκή· αὕτη ἔςαι ὑμῖν ἡ γῆ,
καὶ τὰ ὅρια αὐτῆς κύκλῳ· 13 καὶ ἐνυτεί-
λατο Μωϋσῆς τοῖς υἱοῖς Ἰσραὴλ λέγων·
Αὕτη ἡ γῆ ἣν κατακληρονομήσεται αὐτὴν μετὰ
κλήρυ, ὃν τρόπον συνέταξεν κύριος, δῦναι αὐ-
τὴν ταῖς ἐννέα φυλαῖς, καὶ τῷ ἡμίσει φυλῆς
Μανασσῆ· 14 ὅτι ἔλαβεν φυλὴ υἱῶν Ῥυβὴν
καὶ φυλὴ υἱῶν Γὰδ' κατ' οἴκυς πατριῶν αὐ-
τῶν καὶ τὸ ἥμισυ φυλῆς Μανασσῆ, ἀπέλαβον
τὺς κλήρυς αὐτῶν, 15 δύο φυλαὶ καὶ ἥμισυ
φυλῆς ἔλαβον τὺς κλήρυς αὐτῶν πέραν τῦ
Ἰορδάνυ κατὰ Ἱεριχὼ, ἀπὸ νότυ πρὸς ἀνατολάς· * *191
16 Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν λέγων· 17 ταῦ-
τα τὰ ὀνόματα τῶν ἀνδρῶν, οἱ κληρονομήσυ-
σιν ὑμῖν τὴν γῆν· Ἐλεάζαρ ὁ ἱερεὺς καὶ Ἰη-
σῦς ὁ τῦ Ναυὴ, 18 καὶ ἄρχοντα ἕνα ἐκ φυ-

λῆς λήψεσθε, κατακληρονομῆσαι ὑμῖν τὴν γῆν·
[19] καὶ ταῦτα τὰ ὀνόματα τῶν ἀνδρῶν τῆς φυ-
λῆς Ἰούδα, Χαλὲβ υἱὸς Ἰεφονή· [20] τῆς φυλῆς
Συμεὼν, Σαλαμιὴλ υἱὸς Σεμιούδ· [21] τῆς φυλῆς
Βενιαμὶν, Ἐλδὰδ υἱὸς Χασλών· [22] τῆς φυλῆς
Δὰν, ἄρχων Βοκκὶ k), υἱὸς Ἰεκλεῖ l)· [23] τῶν
υἱῶν Ἰωσὴφ φυλῆς υἱῶν Μανασσῆ, ἄρχων
Ἀνιὴλ υἱὸς Σουφί· [24] τῆς φυλῆς υἱῶν Ἐφραὶμ
ἄρχων Καμουὴλ υἱὸς Σαφτάν· [25] τῆς φυλῆς
Ζαβουλὼν, ἄρχων Ἐλεισὰφ, υἱὸς Φαρνάχ· [26] τῆς
φυλῆς υἱῶν Ἰσσάχαρ, ἄρχων Φατιὴλ υἱὸς
Ὀζά· [27] τῆς φυλῆς υἱῶν Ἀσήρ· ἄρχων Ἀχιὼρ,
υἱὸς Σελεμί· [28] τῆς φυλῆς Νεφθαλὶ, ἄρχων
Φαδαὴλ υἱὸς Ἰαμιούδ m)· [29] οὗτοι οἷς ἐνετείλα-
το κύριος καταμερίσαι n) τοῖς υἱοῖς Ἰσραὴλ ἐν
N γῇ Χαναάν·
NB XXXV. [1] Καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν, ἐπὶ
δυσμῶν Μωὰβ παρὰ τὸν Ἰορδάνην, κατὰ Ἰε-
ριχὼ λέγων· [2] σύνταξον τοῖς υἱοῖς Ἰσραὴλ καὶ
δώσουσιν τοῖς Λευίταις ἀπὸ τῶν κλήρων κατα-
σχέσεως αὐτῶν πόλεις κατοικεῖν· καὶ τὰ προ-
άστεια τῶν πόλεων κύκλῳ αὐτῶν, δώσουσιν τοῖς
Λευίταις· [3] καὶ ἔσονται αἱ πόλεις αὐτοῖς κατοι-
κεῖν, καὶ τὰ ἀφορίσματα αὐτῶν, ἔσται τοῖς
κτήνεσιν αὐτῶν καὶ πᾶσι τοῖς τετράποσιν αὐ-
τῶν, [4] καὶ τὰ συγκυροῦντα τῶν πόλεων ἃς δώ-
σουσιν τοῖς Λευίταις, ἀπὸ τείχους τῆς πόλεως
καὶ ἔξω, δισχιλίους πήχεις κύκλῳ· [5] καὶ μετρή-
σεις ἔξω τῆς πόλεως τὸ κλῖτος τὸ πρὸς ἀνατο-
λὰς δισχιλίους πήχεις· καὶ τὸ κλῖτος τὸ πρὸς
λίβα,

NB ΚΛΗΡΟΔΟΣΙΑ ΛΕΥΙΤΩΝ.

k) μαχειρ
l) σεκχι
m) σελεμιηλ
n) κληρονομησαι.

λίβα, δισχιλίους πήχεις· καὶ τὸ κλῖτος τὸ πρὸς
θάλασσαν, δισχιλίους πήχεις· καὶ τὸ κλῖτος
τὸ πρὸς βοῤῥᾶν, δισχιλίους πήχεις· καὶ ἡ πό-
λις μέσον τούτου ἔσται ὑμῖν, καὶ τὰ ὅμορα τῶν
πόλεων· 6 καὶ τὰς πόλεις ἃς δώσεται τοῖς Λε-
υΐταις, τὰς ἓξ πόλεις τῶν φυγαδευτηρίων ἃς
δώσετε φυγεῖν ἐκεῖ * τῷ φονεύσαντι· καὶ πρὸς *192
ταύταις τεσσαράκοντα καὶ δύο πόλεις, 7 πά-
σας τὰς πόλεις ἃς δώσετε τοῖς Λευΐταις, τεσ-
σαράκοντα καὶ ὀκτὼ πόλεις· ταύτας καὶ τὰ
προάστεια αὐτῶν τὰ ὁμοροῦντα, 8 καὶ τὰς πό-
λεις, ἃς δώσετε ἀπὸ τῆς κατασχέσεως τῶν υἱῶν
Ἰσραὴλ ἀπὸ τῶν τὰ πολλὰ, πολλά· καὶ
ἀπὸ τῶν ἐλαττόνων, ἐλάττω· ἕκαστος κατὰ τὴν
κληρονομίαν αὐτοῦ, ἣν κατακληρονομήσου-
σιν, δώσουσιν ἀπὸ τῶν πόλεων τοῖς Λευΐταις·
9 καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν λέγων· ΝΓ
10 Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐ-
τούς· ὑμεῖς διαβαίνετε τὸν Ἰορδάνην εἰς γῆν Χα-
ναὰν, 11 καὶ διαστελεῖτε ὑμῖν αὐτοῖς· πόλεις
φυγαδευτήρια, ἔσται ὑμῖν φυγεῖν ἐκεῖ τὸν φο-
νευτήν· πᾶς πατάξας ψυχὴν ἀκουσίως· 12 καὶ
ἔσονται αἱ πόλεις ὑμῖν φυγαδευτήρια, ἀπὸ ἀγχι-
στεύοντος τὸ αἷμα, καὶ οὐ μὴ ἀποθάνῃ ὁ φο-
νεύων ἕως ἂν στῇ ἔναντι τῆς συναγωγῆς εἰς κρί-
σιν· 13 καὶ αἱ πόλεις ἃς δώσεται τὰς ἓξ πόλεις
φυγαδευτήρια ἔσονται ὑμῖν· 14 τὰς τρεῖς πόλεις δώ-
σετε ἐν τῷ πέραν τοῦ Ἰορδάνου· καὶ τὰς τρεῖς πόλεις
δώσετε ἐν γῇ Χαναάν· 15 φυγάδιον ἔσται τοῖς υἱοῖς
Ἰσραὴλ καὶ τῷ προσηλύτῳ, καὶ τῷ παροίκῳ τῷ ἐν
ὑμῖν, ἔσονται αἱ πόλεις αὗται εἰς φυγαδευτήριον
φυγεῖν

ΝΓ ΠΕΡΙ ΦΟΝΕΩΣ.

φυγεῖν ἐκεῖ, παντὶ πατάξαντι ψυχὴν ἀκουσίως·
16 ἐὰν δὲ ἐν σκεύει σιδήρου πατάξῃ αὐτὸν καὶ τελευ-
τήσει, φονευτής ἐστιν, θανάτῳ θανατούσθω ὁ φονευ-
τής· 17 ἐὰν δὲ ἐν λίθῳ ἐκ χειρὸς ἐν ᾧ ἀποθανεῖται
ἐν αὐτῷ, πατάξῃ αὐτὸν καὶ ἀποθάνῃ, φονευτής
ἐστιν, θανάτῳ θανατούσθω ὁ φονευτής· 18 ἐὰν δὲ ἐν
σκεύει ξυλίνῳ ἐκ χειρὸς ἐξ οὗ ἀποθανεῖται πατά-
ξῃ αὐτὸν καὶ ἀποθάνῃ, φονευτής ἐστιν, θανάτῳ ἀπο-
θανεῖται ὁ φονευτής· 19 ὁ ἀγχιστεύων τὸ αἷμα, οὗτος
ἀποκτενεῖ τὸν φονεύσαντα, ὅτ᾽ ἂν συναντήσῃ αὐτῷ,
*193 οὗτος ἀποκτενεῖ αὐτόν· 20 ἐὰν * δὲ δι᾽ ἔχθραν ὤσῃ
αὐτὸν, καὶ ἐπιρρίψῃ ἐπ᾽ αὐτὸν πᾶν σκεῦος ἐξ ἐνέδρου
καὶ ἀποθάνῃ· 21 ἢ διὰ μῆνιν ἐπάταξεν αὐτὸν τῇ
χειρὶ καὶ ἀποθάνῃ, θανάτῳ θανατούσθω ὁ πατά-
ξας φονευτής ἐστιν, θανάτῳ θανατούσθω ὁ φονεύων·
ὁ ἀγχιστεύων τὸ αἷμα ἀποκτενεῖ τὸν φονεύσαντα ἐν
τῷ συναντῆσαι αὐτῷ· 22 ἐὰν δὲ ἐξάπινα οὐ δι᾽ ἔχ-
θραν ὤσῃ αὐτὸν, ἢ ἐπιρρίψῃ ἐπ᾽ αὐτὸν πᾶν σκεῦος
οὐκ ἐξ ἐνέδρου, 23 ἢ παντὶ λίθῳ ἐν ᾧ ἀποθανεῖται ἐν
αὐτῷ οὐκ εἰδὼς, καὶ ἐπιπέσῃ ἐπ᾽ αὐτὸν καὶ ἀποθά-
νῃ, αὐτὸς δὲ οὐκ ἐχθρὸς αὐτοῦ ἦν, οὐδὲ ζητῶν κακο-
ποιῆσαι αὐτὸν, 24 καὶ κρινεῖ ἡ συναγωγὴ ἀναμέσον
τοῦ πατάξαντος, καὶ ἀναμέσον τοῦ ἀγχιστεύοντος τὸ
αἷμα, κατὰ τὰ κρίματα ταῦτα, 25 καὶ ἐξελεῖται
ἡ συναγωγὴ τὸν φονεύσαντα ἀπὸ τοῦ ἀγχιστεύοντος
τὸ αἷμα, καὶ ἀποκαταστήσει αὐτὸν ἡ συναγωγὴ,
εἰς τὴν πόλιν τοῦ φυγαδευτηρίου αὐτοῦ, οὗ κατέφυ-
γεν, καὶ κατοικήσει ἐκεῖ ἕως ἂν ἀποθάνῃ ὁ ἱερεὺς ὁ
μέγας, ὃν ἔχρισαν αὐτὸν τῷ ἐλαίῳ τῷ ἁγίῳ· 26 ἐὰν
δὲ ἐξόδῳ ἐξελθὼν ἐξέλθῃ ὁ φονεύσας τὰ ὅρια τῆς
πόλεως, εἰς ἣν κατέφυγεν ἐκεῖ, 27 καὶ εὕρει αὐτὸν ὁ
ἀγχιστεύων τὸ αἷμα, ἔξω τῶν ὁρίων τῆς πόλεως κατὰ

φυγῆς

φυγῆς αὐτοῦ, καὶ φονεύσει ὁ ἀγχιστεύων τὸ αἷμα τὸν
φονεύσαντα, οὐκ ἔνοχός ἐστιν, 28 ἐν γὰρ τῇ πόλει τῆς
φυγῆς αὐτοῦ κατοικήτω, ἕως ἂν ἀποθάνῃ ὁ ἱερεὺς
ὁ μέγας· καὶ μετὰ τὸ ἀποθανεῖν τὸν ἱερέα τὸν
μέγαν, ἐπαναστραφήσεται ὁ φονεύσας εἰς τὴν γῆν
τῆς κατασχέσεως αὐτοῦ· 29 καὶ ἔσται ταῦτα ὑμῖν εἰς
δικαίωμα κρίματος εἰς τὰς γενεὰς ὑμῶν ἐν πάσαις
ταῖς κατοικίαις ὑμῶν· 30 πᾶς πατάξας ψυχὴν διὰ
μαρτύρων, φονεύσει τὸν φονεύσαντα· καὶ μάρτυς
εἷς, οὐ μαρτυρήσει ἐπὶ ψυχὴν ἀποθανεῖν, 31 καὶ οὐ
λήψεσθε λύτρα περὶ ψυχῆς παρὰ τοῦ φονεύσαντος
τοῦ ἐνόχου ὄντος ἀναιρεθῆναι, θανάτῳ γὰρ θα*να- *194
τωθήσεται· 32 οὐ o) λήψεσθε p) λύτρα τοῦ φυγεῖν εἰς
πόλιν τῶν φυγαδευτηρίων, τοῦ πάλιν κατοικεῖν ἐπὶ τῆς
γῆς, ἕως ἂν ἀποθάνῃ ὁ ἱερεὺς ὁ μέγας, 33 καὶ οὐ μὴ φο-
νοκτονήσητε τὴν γῆν, ἐφ' ἧς ὑμεῖς κατοικεῖτε ἐπ' αὐτῆς·
Τὸ γὰρ αἷμα τοῦτο, φονοκτονεῖ τὴν γῆν, καὶ οὐκ ἐξιλα-
σθήσεται ἡ γῆ ἀπὸ τοῦ αἵματος τοῦ ἐκχυθέντος ἐπ'
αὐτῆς· ἀλλ' ἐπὶ τοῦ αἵματος τοῦ ἐκχέοντος, 34 καὶ
οὐ μιανεῖτε τὴν γῆν, ἐφ' ἧς κατοικεῖτε ἐπ' αὐτῆς,
ἐφ' ἧς ἐγὼ κατασκηνῶ ἐν ὑμῖν· ἐγὼ γάρ εἰμι κύ-
ριος κατασκηνῶν ἐν μέσῳ τῶν υἱῶν Ἰσραήλ·

XXXVI.

o) τομη.

p) ἰστέον, ὅτι τινὰ τῶν ἀντιγράφων οὐκ ἔχει τομη, κατεκεῖνα οὖν νοητέον τοῦτο, ἐπὶ τοῦ ἑκουσίως φονεύσαντος, τοῦ ἐνόχου ὄντος ἀναιρεθῆναι ἵνα ᾖ οὕτως, οὐ λήψεσθε λύτρα τοῦ διασῶσαι αὐτὸν, διὰ τοῦ παρασχεῖν ἄδειαν φυγεῖν εἰς πόλιν τῶν φυγαδευτηρίων, ὡς καὶ μετὰ τὴν τελευτὴν τοῦ ἱερέως ἀποκατασταθέντα πάλιν, κατοικεῖν ἐπὶ τῆς γῆς τῆς κατασχέσεως αὐτοῦ· προσκειμένου δὲ τοῦ μὴ ἐκληψόμεθα αὐτὸ ἐπὶ τοῦ ἀκουσίως φονεύσαντος, ἵνα ᾖ οὕτως, οὐ μὴ λήψεσθε λύτρα τοῦ συγχωρῆσαι αὐτῷ τὸν περιορισμὸν, τὸν ἐν ταῖς πόλεσι τῶν φυγαδευτηρίων τοῦ ἐφην ἑαυτῷ κατοικεῖν ἐπὶ τῆς γῆς τῆς κατασχέσεως αὐτοῦ, καὶ τὸν ἕως τῆς τελευτῆς τοῦ ἱερέως τοῦ μεγάλου χρόνον.

ΝΑ XXXVI. 1 Καὶ προσῆλθον οἱ ἄρχοντες πατριῶν φυλῆς
υἱῶν Γαλαὰδ υἱοῦ Μαχεὶρ υἱοῦ Μανασσῆ ἐκ τῆς φυ-
λῆς υἱῶν Ἰωσὴφ· καὶ ἐλάλησαν ἔναντι Μωϋσῆ καὶ
ἔναντι Ἐλεάζαρ τοῦ ἱερέως, καὶ ἔναντι τῶν ἀρχόν-
των οἴκων πατριῶν τῶν υἱῶν Ἰσραὴλ, 2 καὶ εἶπαν·
τῷ κυρίῳ ἡμῶν ἐνετείλατο κύριος ἀποδοῦναι τὴν γῆν
τῆς κληρονομίας ἐν κλήρῳ τοῖς υἱοῖς Ἰσραήλ· καὶ
τῷ κυρίῳ συνέταξεν κύριος, δοῦναι τὴν κληρονομίαν
Σαλπαὰδ τοῦ ἀδελφοῦ ἡμῶν, ταῖς θυγατράσιν
αὐτοῦ, 3 καὶ ἔσονται ἑνὶ τῶν φυλῶν υἱῶν Ἰσραὴλ γυ-
ναῖκες· καὶ ἀφαιρεθήσεται ὁ κλῆρος αὐτῶν ἐκ τῆς
κατασχέσεως τῶν πατέρων ἡμῶν, καὶ προ-
στεθήσεται εἰς τὴν κληρονομίαν τῆς φυλῆς,
οἷς ἂν γένωνται γυναῖκες, καὶ ἐκ τοῦ κλή-
ρου τῆς κληρονομίας ἡμῶν ἀφαιρεθήσεται·
*195* 4 Ἐὰν q) δὲ γένηται ἡ ἀφαίρεσις τῶν υἱῶν Ἰσραὴλ
καὶ προστεθήσεται ἡ κληρονομία αὐτῶν, ἐπὶ τὴν κλη-
ρονομίαν τῆς φυλῆς, οἷς ἂν γένωνται γυναῖκες· καὶ
ἀπὸ τῆς κληρονομίας φυλῆς πατρίας ἡμῶν, ἀφαι-
ρεθήσεται ἡ κληρονομία αὐτῶν· 5 καὶ ἐνετείλατο
Μωϋσῆς τοῖς υἱοῖς Ἰσραὴλ διὰ προστάγματος κυρίου
λέγων· οὕτως φυλὴ υἱῶν Ἰωσὴφ λέγουσιν· 6 τοῦτο τὸ
ῥῆμα ὃ συνέταξεν κύριος ταῖς θυγατράσιν Σαλ-
παὰδ λέγων· οὗ ἀρέσκει ἐναντίον αὐτῶν, ἔστωσαν
γυναῖκες· πλὴν ἐκ τοῦ δήμου τοῦ πατρὸς αὐτῶν, ἔστω-
σαν γυναῖκες· 7 καὶ οὐχὶ περιστραφήσεται κληρονο-
μία τοῖς υἱοῖς Ἰσραὴλ, ἀπὸ φυλῆς ἐπὶ φυλήν· ὅτι
ἕκαστος ἐν τῇ κληρονομίᾳ τῆς φυλῆς τῆς πατρίας
αὐτοῦ προσκολληθῇ οἱ υἱοὶ Ἰσραήλ· 8 καὶ πᾶσα
θυγάτηρ ἀγχιστεύουσα κληρονομίαν φυλῶν υἱῶν
Ἰσρα-

q) ἐὰν δὲ φησὶν ἐπὶ πάντων τῶν υἱῶν Ιηλ τοῦτο κρατήσῃ τὸ προφάσει τῆς ἐπιγαμίας μετατίθεσθαι κληρονομίαν ἀπὸ φυλῆς ἐπὶ ἑτέραν φυλὴν, καὶ ἡμεῖς στέρξομεν τὴν ἀφαίρεσιν.

Ἰσραὴλ, ἑνὶ τῶν ἐκ τοῦ δήμου τοῦ πατρὸς αὐτῆς, ἔσον-
ται γυναῖκες· ἵνα ἀγχιστεύωσιν οἱ υἱοὶ Ἰσραὴλ,
ἕκαστος τὴν κληρονομίαν τὴν πατρικὴν αὐτοῦ· [9] καὶ
οὐ περιστραφήσεται κλῆρος ἐκ φυλῆς ἐπὶ φυλὴν ἑτέ-
ραν· ἀλλὰ ἕκαστος, ἐν τῇ κληρονομίᾳ αὐτοῦ, προσ-
κολληθήσονται οἱ υἱοὶ Ἰσραὴλ, [10] ὃν τρόπον συνέτα-
ξεν κύριος πρὸς Μωϋσῆν, οὕτως ἐποίησαν θυγατέρες
Σαλπαάδ· [11] καὶ ἐγένοντο Θερσὰ, καὶ Ἐγλὰ, καὶ
Μελχὰ, καὶ Νουὰ, καὶ Μααλὰ, θυγατέρες Σαλ-
παὰδ τοῖς ἀνεψιοῖς αὐτῶν [12] ἐκ τοῦ δήμου Μανασσῆ
υἱῶν Ἰωσὴφ ἐγεννήθησαν γυναῖκες· καὶ ἐγενήθη
ἡ κληρονομία αὐτῶν, ἐπὶ τὴν φυλὴν δήμου τοῦ πα-
τρὸς αὐτῶν· [13] αὗται αἱ ἐντολαὶ καὶ τὰ δικαιώμα-
τα καὶ τὰ κρίματα, ἃ ἐνετείλατο κύριος ἐν χειρὶ
Μωϋσῆ ἐπὶ δυσμῶν Μωὰβ ἐπὶ τοῦ Ἰορδάνου
κατὰ Ἱερειχώ·

ΑΡΙΘΜΟΙ

# ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ

I. 1 Οὗτοι οἱ λόγοι οὓς ἐλάλησεν Μωϋσῆς παντὶ Ἰσρα- A
ὴλ, πέραν τοῦ Ἰορδάνου ἐν τῇ ἐρήμῳ πρὸς δυσμαῖς r),
πλησίον τῆς ἐρυθρᾶς s) ἀναμέσον Φαρὰν τοφὸλ καὶ
Λοβον καὶ Αὐλὼν καὶ καταχρύσεα t), [2] ἕνδεκα ἡμε-
ρῶν ἐκ Χωρὴβ ὁδὸς ἐπ' ὄρος Σηεὶρ ἕως Κάδης Βαρνῆ·
[3] Καὶ ἐγενήθη ἐν τῷ τεσσαρακοστῷ ἔτει ἐν τῷ ἑνδεκάτῳ
μηνὶ, μιᾷ u) τοῦ μηνὸς ἐλάλησεν Μωϋσῆς πρὸς πάν-
τας

r) AK. ἐνομαλεῖ.
s) τῆς ἐρυθρᾶς θαλάσσης οὕτως καλεῖται τὰ μεταξὺ παιδία τῶν τῆς ἀραβίας καὶ ἰουδαίας ὀρέων.
t) AK. ἱκανόν. u) πρώτῃ.

τας υἱὲς Ἰσραὴλ, κατὰ πάντα ὅσα ἐνετείλατο αὐ-
τῷ κύριος πρὸς αὐτὲς, 4 μετὰ τὸ πατάξαι αὐτὸν
τὸν Σηὼν βασιλέα Ἀμοῤῥαίων, τὸν κατοικήσαντα
ἐν Ἐσεβὼν καὶ Ὢγ βασιλέα τῆς Βασὰν, τὸν κατ-
οικήσαντα ἐν Ἀσθαρὼθ καὶ ἐν Ἐδραεὶν 5 ἐν τῷ
πέραν τȣ̃ Ἰορδάνȣ ἐν γῇ Μωὰβ· ἤρξατο
Μωϋσῆς διασαφῆσαι τὸν νόμον τȣ̃τον λέγων·
6 Κύριος ὁ θεὸς ἡμῶν, ἐλάλησεν ἡμῖν ἐν Χωρὴβ λέγων·
ἱκανȣ́σθω x) ὑμῖν κατοικεῖν ἐν τῷ ὄρει τȣ́τῳ. 7 ἐπι-
στράφητε καὶ ἀπάρατε ὑμεῖς, καὶ εἰσπορεύεσθε εἰς
ὄρος Ἀμοῤῥαίων, καὶ πρὸς πάντας τȣ̀ς περιοίκȣς y)
Ἀραβὰ εἰς ὄρος, καὶ πεδίον καὶ πρὸς λίβα, καὶ
παραλίαν γῆν Χαναναίων, καὶ Ἀντιλίβανον ἕως τȣ̃
ποταμȣ̃ τȣ̃ μεγάλȣ, ποταμȣ̃ Εὐφράτȣ· 8 ἴδετε
παραδέδωκα ἐνώπιον ὑμῶν τὴν γῆν, εἰσελθόν-
τες z) κληρονομήσατε τὴν γῆν, ἣν ὤμοσα τοῖς πατρά-
σιν ὑμῶν τῷ Ἀβραὰμ καὶ τῷ Ἰσαὰκ καὶ τῷ Ἰακὼβ
δȣ̃ναι αὐτοῖς, καὶ τῷ σπέρματι αὐτῶν μετ᾽ αὐτȣ̀ς·
B 9 Καὶ εἶπα πρὸς ὑμᾶς ἐν τῷ καιρῷ ἐκείνῳ λέγων· ȣ̓
δυνήσομαι μόνος φέρειν a) ὑμᾶς· 10 κύριος ὁ θεὸς
ὑμῶν ἐπλήθυνεν ὑμᾶς, καὶ ἰδȣ̀ ἐστὲ σήμερον
ὡσεὶ τὰ ἄστρα τȣ̃ ȣ̓ρανȣ̃ τῷ πλήθει· 11 κύριος
ὁ θεὸς τῶν πατέρων ὑμῶν προσθείη ὑμῖν ὡς
ἐστὲ χιλιοπλασίως, καὶ εὐλογῆσαι ὑμᾶς καθ᾽
ὅτι ἐλάλησεν· 12 πῶς δυνήσομαι μόνος
φέρειν τὸν κόπον ὑμῶν, καὶ τὴν ὑπόστασιν b) ὑμῶν,
καὶ τὰς ἀντιλογίας c) ὑμῶν· 13 δότε ἑαυτοῖς ἄνδρας
σοφȣ̀ς * * * * * * * * * * *

x) πολὺ ὑμῖν. y) AK. γείτωνας.
z) πορευθέντες. a) AK. αἴρειν.
b) AK. τὸ ἄρμα. c) το βαρος. AK. δικασια.